**σύνδυο** [οἱ, αἱ, τὰ] κ. μσν. δύο ὁμοῦ, ἀνὰ δύο, κατὰ ζεύγη : 'Υμν.'Αφρ.74 οἱ δ' ἅμα πάντες σύνδυο κοιμήσαντο, Πίνδ.Π 3,81, 'Ηρ.4,66 οὗτοι δὲ σύνδυο κύλικας ἔχοντες πίνουσι ὁμοῦ, Πλάτ. Νόμ.962E οἱ δὲ καὶ ξύνδυο νομοθετοῦνται, αὐτ. Τίμ.54D, Δημ.564, Πολύβ.8,6,2 πεντήρεσι . . συνεζευγμέναις πρὸς ἀλλήλας σύνδυο, Διον.'Αλ.Ρωμ. 10,32 οἱ σύνδυο καὶ σύντρεις, Πρόδρ.2,140 ὅταν τρέχουσιν σύνδυο αἱ καροῦχαι· κ. μτ. προθ. [ἀνά, κατά] : Γαλ.6,216 ἀνὰ σύνδυο, αὐτ.Χρ.Μορ. 15,4 κατὰ σύνδυο.

**συνδύομαι** μτγν. δύομαι, βυθίζομαι ὁμοῦ, μτφ. : Μᾶρκ.Αὐρ.8,45 ψυχὴ . . ταπεινουμένη . . συνδυομένη (συνεσταλμένη, συντεθλιμμένη)· 2) συνεννοοῦμαι μετά τινος : Πάπ. μετὰ τῶν . . μηλονόμων συνδεδυμένων τούτοις [τοῖς λῃσταῖς] [πιθ. συνδεδεμένων].

**συνδυστυχής**-οῦς-ές μσν. ὁ ὁμοῦ μετά τινος δυστυχής, ὁ συνδυστυχῶν ἐπίσης : Τζέτζ.'Εξήγ.'Ιλ. 78,9 ὁ ἐμοὶ συνδυστυχὴς Ὅμηρος.

**συνδυστῠχῶ**-έω δυστυχῶ ὁμοῦ ἢ συγχρόνως μετά τινος, συμμετέχω τῆς δυστυχίας τινός : Εὐρ. 'Ορ.1099 ὡς ἂν Μενέλεως ξυνδυστυχῇ, 'Ισαΐ.6,1 συνεξέπλευσα καὶ συνεδυστύχησα, Σχόλ.'Αριστφ. Πλ.174 δυστυχοῦντος ἀνάγκη συνδυστυχεῖν.

**συνδυσφημῶ**-έω μσν. δυσφημῶ, κακολογῶ ὁμοῦ, σύναμα : Φώτ.Μαν.3,17.

**συνδυσχεραίνω** μτγν. δυσχεραίνω, δυσαρεστοῦμαι, ἀγανακτῶ ὁμοῦ μετά τινος : Γρηγ.Νύσσ. 2,203D κἀμοῦ συνδυσχεραίνοντος ἐπὶ τῇ ἀμελείᾳ.

**συνδυσωπῶ**-έω μσν. δυσωπῶ, ἱκετεύω ζητῶ τι φορτικῶς ὁμοῦ ἢ συγχρόνως μετά τινος : Εὐστ. Πον.320,72 συνδυσωπεῖ δὲ ταῦτα καὶ αὐτός.

**συνδύω** μσν. δύω, καταδύω, καταβυθίζω τινὰ ὁμοῦ ἢ συγχρόνως μετά τινος : Εὐμάθ.'Υσμ.11,258 συμπαραδοῦναί με τῷ βυθῷ καὶ συνδῦσαι.

**συνδώδεκα** [οἱ, αἱ, τὰ] δώδεκα ὁμοῦ, ἀνὰ δώδεκα : Εὐρ.Τρῳ.1076 σελᾶναι συνδώδεκα πλήθει.

**συνδωροῦμαι**-έομαι μτγν. δωροῦμαι, προσφέρω συγχρόνως : Πολύαιν.8,16,6 συνεδωρήσατο [ἄ.γρ. συνεχαρίσατο].

**συνέαξε** ἀόρ. α' τοῦ συνάγνυμι βλ.λ.

**συνεᾰρίζω** μτγν. ἐαρίζω, διέρχομαι τὸ ἔαρ μετά τινος : Πλούτ.'Ηθ.956C συνεαρίζων τοῖς μειρακίοις [ἄ. γρ. συνοαρίζων].

**συνεβάλονθο** 'Επιγρ. βοιωτ. ἀντὶ συνεβάλοντο.

**συνέβγαλμα** [τὸ] δημ. κ. συνεβγαλμός [ὁ] ἡ συνοδεία, τὸ ξέβγαλμα.

**συνεβγαλτής** [ὁ] δημ. ἄ. ξεβγαλτὴς βλ.λ.

**συνεγγίζω** εἶμαι σύνεγγυς, εὑρίσκομαι ἢ ἔρχομαι πλησίον ὁμοῦ, συμπλησιάζω : Πολύβ.1,23,8 ἐν δὲ τῷ συνεγγίζειν θεωροῦντες τὸ συμβεβηκός, Γέμιν.17,28 συνεγγίζοντος τοῦ ἡλίου, Σωρ.1,56 συνεγγιζούσης τῆς ἀποτέξεως· κ. μτ. δοτ. : Πολύβ.3, 69,13 τοὺς συνεγγίσαντας τῷ χάρακι, Διόδ.Σ 3,72 συνεγγιζούσης τῆς δυνάμεως τῇ πόλει, Διοσκ.2,77 θέρους τοῦ συνεγγίζοντος τῷ φθινοπώρῳ [εἰς τὸ μέρος τοῦ θέρους ποὺ κλίνει πρὸς τὸ φθινόπωρον], Μαρκελλῖν.'Ιατρ.339 συνεγγίζειν

τῇ ἀκμῇ (πλησιάζειν εἰς τὴν πρώτην ἡλικίαν)˙ || προσεγγίζω, διήκω, φθάνω, μτ. δοτ. : Στωικ. ἀπ.1,48 **τῇ τῶν ἀγαθῶν φύσει συνεγγίζειν,** Ἱππαρχ.1,10,8 **τῇ ἀληθείᾳ συνεγγίζειν,** Φιλόδ.Μουσ. 99K **τῇ μανίᾳ συνεγγίζειν**˙ κ. ἀπολ. : αὐτ.Ὀργ. 74W˙ **2)** ρηματ. π. συνεγγισμός.

**συνεγγισμός** (ὁ) (συνεγγίζω) μτγν. ἡ ἐνέργεια καὶ τὸ ἀποτέλεσμα τοῦ συνεγγίζειν, ἡ προσέγγισις, ἡ πλησίασις, ἐπὶ ἀστερισμῶν : Στράβ.3,5,9 **τῶν δ' ἄλλων ἑκάστου κατὰ τοὺς συνεγγισμοὺς εἶναι τὴν ἀναλογίαν,** Πτολ.Γεωγρ.1,13,1 **κατὰ συνεγγισμὸν τῶν ἐπιβολῶν**˙ κ. γεν. : Σωρ.1,66 **τοῦ συνεγγισμοῦ τῆς ἀποτέξεως**˙ κ. ἐμπροθ. : Ἀρρ. Ἐπικτ.1,4,8 **συνεγγισμὸς πρὸς τὴν ἀρετήν.**

**συνέγγονος** (ὁ) ὁ ἐπίσης, ὁμοίως ἔγγονος: Ἐπίγρ. **ἑαυτῷ . . καὶ τοῖς συνεγγόνοις.**

**συνεγγράφω** μτγν. κ. μσν. ἐγγράφω βλ.λ.8), καταγράφω τινὰ ὁμοῦ μετά τινος : Πλούτ.Ἠθ. 763E **τὸν Ἔρωτα συνεγγράφουσιν εἰς θεοὺς ποιητῶν οἱ κράτιστοι,** Ἀνών.ἐν Ἀν.Bandini 112 **ἐνταῦθα τούτοις εἰκότως συνεγγράφω**˙ κ. παθ. : Διον. Ἀλ.Ρωμ.6,84 **οἱ . . βουλευταί, ὅσοι τῷ ψηφίσματι συνεγγραφήσονται,** Πάπ. **τοῖς κατ' ἔτος ἐφήβοις συνεγγραφόμενοι.**

**συνεγγύη** (ἡ), ἀρκαδ. **συνιγγύα** ἐγγύη, ἐγγύησις, ἐνέχυρον, ὑποθήκη : Ἐπιγρ.

**συνεγγυητής** (ὁ) (συνεγγυῶ) μτγν. κ. νεώτ. ὁ ἀπὸ κοινοῦ μετά τινος ἐγγυώμενος, ὁ μετ' ἄλλου ἐγγυητής : Θεόφιλ.Ἀντικήνσ.Ἰνστιτ.3,20,344 **ἡ τῶν ἐγγυητῶν ἀπορία τοὺς συνεγγυητὰς βαρύνει.**

**σύνεγγυς** ἐπίρ. κ. νεώτ. (συνήθ. ἐν χρ. ὡς ἐπίθ.), τὸ ὑπερθ. **συνέγγιστα** (Πλούτ.Ἠθ.619D, Βέττ.Βάλ. 741,23), ἐπὶ τόπου, λίαν ἐγγύς, πλησίον, πλησιέστατα, πολὺ κοντά : Ἱππ.Ἄρθρ.41, Θουκ.4,24 **ξύνεγγυς.. κειμένου τοῦ.. Ῥηγίου,** Ξεν.Ἑλλ.6,5,17 **μάλα σύνεγγυς καὶ κύκλῳ ὄρη ἔχοντα,** Θεόφρ.ΦΙ 8,2,11 **οἱ τόποι . . σύνεγγυς ὄντες,** Πλούτ.Ἠθ.619D **τῶν συνέγγιστα τόπων,** Πάπ. **τὰ σύνεγγυς χώματα,** - **ἐκ τοῦ σύνεγγυς** (ἐκ τοῦ πλησίον)˙ κ. μτ. γενικ. : Ἀριστλ.ΖΙ 541a,8 **σύνεγγυς ἀλλήλων** (πλησίον ἀλλήλων), Πολύβ.1,51,1 **ἐπειδὴ δὲ σύνεγγυς αὐτῶν ἦσαν**˙ || **τὸ σύνεγγυς** ἡ ἐγγύτης, τὸ πλησίον : Ἀριστλ.Πολιτ.1280b,24 **διὰ τὸ μὴ σύνεγγυς τῆς κοινωνίας** (τὸ νὰ μὴ εἶναι πλησίον)˙ || **τὰ σύνεγγυς πράγματα** τὰ τοπικὰ συμφέροντα : Ἐπιγρ. **πάντα τὰ σύνεγγυς πράγματα**˙ **2)** ἐπὶ χρόνου, ἐγγύς, πλησίον : Ἀριστλ.Ρητ.1382a,25˙ **3)** ἐπὶ σχέσεως ἢ συγγενείας : Ἀριστλ.ΗΝικ.1162a,3˙ **4)** ἐπὶ ποιοτήτων, ἰδιοτήτων : αὐτ.Πολιτ.1296a,5 **ἐκ δὲ τῶν μέσων καὶ τῶν σύνεγγυς** (ἐκ τῶν ἀνηκόντων εἰς ὁμοίαν τάξιν), αὐτ.Ρητ.1367a,33 **τὰ σύνεγγυς τοῖς ὑπάρχουσιν** (τὰ πλησιάζοντα εἰς τὰς πραγματικὰς ποιότητας), αὐτ.ΖΜ 655b,2 **σύνεγγυς δὲ κατὰ τὴν ἀφήν ἐστι τοῖς ὀστοῖς καὶ . . ὄνυχες . . καὶ ὁπλαί,** αὐτ.Πολιτ.1272,27, αὐτ.Τοπ. 116,7 **τὰ σύνεγγυς** (ἀντίθ. τὰ πολὺ διεστῶτα), αὐτ. Πολιτ.1321b,40 **καὶ τούτοις ἄλλα ὀνόματα σύνεγγυς** (παρόμοια), αὐτ.ΗΝικ.1111b,20˙ || νεώτ. **ἐκ τοῦ σύνεγγυς** ἐκ τοῦ πλησίον, ἀπὸ κοντά.

**συνεγγυῶ-άω** μτγν. κ. νεώτ. ἐγγυῶ, μνηστεύω, ἀρραβωνίζω ἀπὸ κοινοῦ μετά τινος : Πλούτ.Κάτ. Νεώτ.25 **οὐκ ἄλλως ἐνεγγύησε τὴν Μαρκίαν ἢ παρόντος τοῦ Κάτωνος . . καὶ συνεγγυῶντος**˙ **2)** τὸ μέσ. **συνεγγυῶμαι** κ. νεώτ. ἐγγυῶμαι, δίδω ἐγγύησιν, βάσιμον, ἀξιόπιστον μαρτυρίαν διά τι ἀπὸ κοινοῦ μετά τινος : Φίλ.2,60 **ἐγγυᾶταί μου τὸν λόγον Διονύσιος, συνεγγυᾶται καὶ Κροῖσος**˙ **3)** ρηματ. π. συνεγγυητής.

**συνεγείρω** μτγν. κ. μσν. ἀνεγείρω, σηκώνω τι(νὰ) ὁμοῦ μετά τινος, βοηθῶ εἰς ἀνέγερσιν : ΨΦωκυλ. 140 **κτῆνος κἢν ἐχθραίο πέσῃ καθ' ὁδόν, συνέγειρε**˙ **2)** ἀνίστημί τινα ἐκ νεκρῶν ὁμοῦ μετά τινος, ἀνασταίνω μαζί : ΚΔ Ἐφεσ.2,6 **νεκροὺς . συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις**˙ κ. παθ. : ΠΔ Ἠσ.14,9 **ὁ ᾅδης . . ἐπικράνθη συναντήσας σοι˙ συνηγέρθησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς**˙ || ὁμ. τὸ παθ. **ἐγείρομαι** οἱονεὶ ἐκ νεκρῶν ὁμοῦ μετά τινος : ΚΔ Κολ.2,12 **συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως,** αὐτ.3,1˙ **3)** ἐγείρω τι βλ.λ.4) ὁμοῦ ἢ συγχρόνως, διεγείρω σύναμα, σηκώνω μαζί : Πλούτ.Ἠθ.117C **πᾶσα . . πρόφασις ἱκανὴ πρὸς τὸ τὰς λύπας καὶ τοὺς θρήνους συνεγείρειν**˙ **4)** τὸ παθ. ἐπὶ ἀσθενῶν ἢ καταβεβλημένων, ἀναλαμβάνω, ἀναζωογονοῦμαι : Ἀριστείδ.Λόγ.48(24),43, Εὐνάπ.74(485) **τῇ νεότητι τῆς ψυχῆς τὸ σῶμα κεκμηκὸς συνεγείρετο.**

**συνεγερτικός-ή-όν** μσν. ὁ συνεγείρων, ὁ ἀνήκων ἢ ἁρμόζων εἰς ἔγερσιν : Μάξ.Ὁμολ.2,154A (ὁ. γρ. ἀντὶ συναγερτικός).

**συνεγκαίω,** ἀόρ. **συνενέκαυσα,** ἐγκαίω βλ.λ.2) ἀπὸ κοινοῦ μετά τινος, βοηθῶ εἰς τὴν ἔγκαυσιν βλ.λ.1) : Ἐπιγρ. **Νουίωι συνεγκαύσαντι τὰ κτήνη.**

**συνεγκηδεύω** Ἐπιγρ. ἐγκηδεύω, κηδεύω τινὰ ὁμοῦ μετά τινος.

**συνεγκλείω** μσν. ἐγκλείω τινὰ ὁμοῦ μετά τινος, τὸ παθ. : Νικήτ.Εὐγ.2,38 **τὸν συγκεκλεισμένον,** Πρόδρ.Ροδ.129.

**συνεγκλίνω** μτγν. κλίνω ἢ κάμπτομαι πρός τι ὁμοῦ μετά τινος : Διόδ.Σ3,26 **τὸ .. νευροκοπηθέν.. ζῷον, ποτὲ μὲν διὰ τὴν δυσκινησίαν ἀδυνατοῦν στρέφεσθαι καὶ συνεγκλινόμενον πρὸς τὸν πεπονθότα τόπον, πίπτει**˙ **2)** τὸ ἐνεργ. γράφω ὡς ἐγκλιτικόν : Σχόλ.Θουκ.1,11.

**συνεγκλῑτικός-ή-όν** μτγν. ὁ τὸν τόνον ἐν ταὐτῷ ἐγκλίνων, ὁ ἐγκλιτικός˙ Ἡρωδιαν.1,551 «συνεγκλιτικόν ἐστι σύνταξις δυοῖν ἢ πλειόνων μορίων ἐγκλιτικῶν ἐπαλλήλων ὀξυνομένων, ὡς ἔχει τὰ τοιαῦτα, ἤ νύ σέ που δέος ἴσχει˙ εἴρηται δὲ οὕτω διὰ τὸ σὺν ἐγκλιτικῷ παραλαμβανόμενον διεγείρειν τὴν ὑπερκειμένην ἐν τῷ τέλει τῆς λέξεως ὀξεῖαν»˙ πρβλ.ΑΒ 1142.

**συνεγκωμιάζω** γλωσσ. ἐγκωμιάζω ὁμοῦ ἢ συγχρόνως.

**συνεγχῡλίζω** μσν. ἐγχυλίζω ὁμοῦ, μεταβάλλω τι εἰς χυλὸν ὁμοῦ ἢ συγχρόνως μετά τινος, τὸ παθ. : Ματθ.Ἰατρ.42 **Εὐβοϊκὰ κάρυα συνεγχυλιζόμενα μετὰ τῆς κέγχρου ῥόφημα γένοιτ' ἂν τοῖς πυρέσσουσιν.**

**συνέδρα** (ἡ) Ἐπιγρ. ἀντὶ συνεδρεία βλ.λ.1) : Ἐπιγρ. **καὶ ἀπολογιξάσθω εἰς βουλὰν ἐν τᾶι πράται συνέδραι**˙ **2)** σταθμὸς (statio)˙ Ἡσ.

**συνέδραμον** ἀόρ. β' τοῦ συντρέχω βλ.λ.

**συνεδρεία** (ἡ) (συνεδρεύω) κ. νεώτ. κ. **συνεδρία** τὸ συνεδρεύειν, τὸ συγκαθέζεσθαι ὁμοῦ μετ' ἄλλων ἐν συνεδρίᾳ, πρὸς σύσκεψιν, συνέδριον, συνεδρίασις : Αἰσχίν.3,93 **τὰς δὲ συνεδρίας καὶ τὰς συντάξεις,** ΒΙ.Φιλωνίδ.10C **συνεδρεία, συμβουλή,** αὐτ.94, Ἐπιγρ., Πάπ.˙ || ἰδ. ἡ συνεδρίασις τῆς Ρωμαϊκῆς Συγκλήτου : Δίων Κ 55,3˙ **2)** τὸ ὁμοῦ μετά τινος καθῆσθαι, ὁμὰς συγκαθημένων φίλων, συντροφιά, παρέα : Ξεν.Ἀπομν.4,2,3 **ὁρῶν αὐτὸν ἀποχωροῦντα τῆς συνεδρίας** (ἐκ τοῦ κύκλου τῶν φίλων), Πολύβ.18,54,2 **ἡ μετὰ τῶν φίλων συνεδρεία** (συναναστροφή, συντροφιά, παρέα μετὰ τῶν φίλων)˙ **3)** τὸ κατέχειν, ἡ κατοχὴ τοῦ ἀξιώματος τοῦ συνέδρου : Ἐπιγρ. **παρὰ πάντα τὸν τῆς συνεδρείας χρόνον**˙ **4)** ἀντὶ συνεδρία βλ.λ.1).

**συνεδρευτής** (ὁ) (συνεδρεύω) μσν. σύνεδρος, συγκάθεδρας ἐν βουλευτηρίῳ: Ψ'Ιγνάτ.Ἐπιστ.2,22.

**συνεδρεύω** (σύνεδρος) κ. νεώτ., ἀόρ. **συνήδρευσα,** συγκάθημαι μετά τινος ἄλλου ὡς σύνεδρος πρὸς σύσκεψιν, συνεδριάζω : Δημ.215 **ἐπιμελεῖσθαι τοὺς συνεδρεύοντας** (τὰ μέλη τοῦ συνεδρί-

ου, κ. ἰδ. τοῦ Ἀμφικτιονικοῦ), Αἰσχίν.3,74 **γράφας . . τοὺς συνεδρεύοντας ὀμνύναι,** αὐτ.91 **ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας,** Ἐπιγρ.,Πάπ.· **2)** κάνω συνεδρίασιν μετά τινος, συνέρχομαι πρὸς συνεδρίαν, συνδιασκέπτομαι, συσκέπτομαι: Δημ.133 **οἱ δ' ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι,** Πολύβ.2,26,4,Ὀνήσανδρ.3,1· ‖ κ. μτ. δοτ. προσ. λαμβάνω μέρος εἰς συνέδριον μετέχω συνεδριάσεως μετά τινος : Πολύβ.3,68,15 **συνήδρευε τῷ Ποπλίῳ,** Ἰουλ.Λόγ.4,135D, Πάπ. **μετὰ τῶν συνεδρευόντων Ἀρποκρατίωνι·** ‖ **συνεδρεύειν τῷ λόγῳ** παρίσταμαι ἢ μετέχω συζητήσεως : Ἀριστλ.Μεταφ. 987a,2 **παρὰ τῶν συνηδρευκότων . . τῷ λόγῳ σοφῶν τοσαῦτα παρειλήφαμεν·** **3)** ἡ παθ. μτχ. κτ. πληθ. **τὰ συνεδρευόμενα** τὰ ἐν συνεδρίῳ ἀποφασιζόμενα, ὀθ. τὰ ψηφίσματα τῆς συγκλήτου: Διον.Ἀλ.Ρωμ.10,13· **4)** ἐνεδρεύω, παραφυλάττω ὁμοῦ μετά τινος, στήνω ἐνέδραν μαζί : Ἠσ.ἐν λ. συνελόχισε· **5)** ἐπὶ στρατευμάτων, περικλείω : Ἀσκληπιάδ.3,6· **6)** μτφ. ἰατρ. ἐπὶ συμπτωμάτων, συνυπάρχω, παρακολουθῶ, συνοδεύω : Γαλ.7,627, αὐτ.15,740, Σωρ.2,10, Ἀέτ.15,10 **σημεῖα συνεδρεύει τῷ ἀνευρύσματι ὄγκος·** ‖ γεν. ἐνυπάρχω, ἐμφύομαι, συναποτελῶ τι, εἶμαι συστατικόν τινος: Φιλόδ.Σημ.20, Λογγῖν.10,1 **πᾶσι τοῖς πράγμασι φύσει συνεδρεύει τινὰ μόρια ταῖς ὕλαις συνυπάρχοντα·** **7)** εἰδ. γραμμ. **τὰ συνεδρεύοντα** αἱ παρακολουθοῦσαι σχέσεις : Διον.Ἀλ.Συνθ.5, Ρήτ.4, 355,7 **ταῦτα δὲ τὰ περιστατικὰ καὶ συνεδρεύοντα καλεῖται διὰ τὸ παντὶ παρεῖναι πράγματι·** **8)** ρηματ. π. συνεδρεία, συνεδρευτής.

**συνεδρία** (ἡ) (σύνεδρος) κ. νεώτ. τὸ καθῆσθαι ὁμοῦ μετά τινος, ἐπὶ πτηνῶν ἐκ τῆς θέσεως τῶν ὁποίων ἐξῆγον εὐνοϊκοὺς οἰωνούς : Αἰσχ.Πρ.492 **πρὸς ἀλλήλους τίνες ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι,** Ἀριστλ.ΖΙ 608b,28 **ὅθεν καὶ τὰς διεδρίας καὶ τὰς συνεδρίας αἱ μάντεις λαμβάνουσι· δίεδρα μὲν τὰ πολέμια τιθέντες, σύνεδρα δὲ τὰ εἰρηνεύοντα πρὸς ἄλληλα·** **2)** νεώτ. ἡ συνεδρεία, ἡ συνεδρίασις βλ.λ.

**συνεδριάζω** μτγν., μσν., νεώτ. κ. δημ., ἀόρ. **συνεδρίασα,** συνέρχομαι εἰς συνεδρίαν, συμπαρακάθημαι μετ' ἄλλων εἰς σύσκεψιν, συνεδρεύω: ΠΔ Παροιμ.3,32 **παράνομος, ἐν . . δικαίοις οὐ συνεδριάζει,** Φώτ.Βιβλ.480,28 **συνεδριάσαι τοῖς περὶ Εὐσέβιον,** αὐτ.481,27,-**τὸ δικαστήριον συνεδριάζει·** ‖ τὸ παθ. **τὰ συνεδριασθέντα** τὰ ἐν συνεδρίᾳ ψηφισθέντα : Στουδ.Θεόδ.461E· **2)** ρηματ. π. συνεδρίασις.

**συνεδριακός-ή-όν** μτγν. ὁ ἀνήκων, ἰδιάζων εἰς συνέδριον ἢ ὁ διὰ συνεδρίου διοικούμενος : Πολύβ.31,12,12 **ἀήθεις ὄντας δημοκρατικῆς καὶ συνεδριακῆς πολιτείας.**

**συνεδριάομαι** μτγν. ἐπ. συνεδρεύω : Ἀπολλ.Ρ 1,328 **τοὺς δ' ἀγορῆνδε συνεδριάασθαι ἄνωγεν.**

**συνεδρίασις-εως** (ἡ) (συνεδριάζω) μσν. κ. νεώτ. δημ.-η ἡ ἐνέργεια τοῦ συνεδριάζειν, συνεδρεία, συνέδριον, σύσκεψις : Τζέτζ.Ἐπιστ.46 (ἐκδ.Pressel.) 39, - **ἔληξεν ἡ συνεδρίασις.**

**συνέδριο(ν)** (τὸ) κ. νεώτ. κ. δημ. ἡ **ἐν τῷ αὐτῷ** συγκέντρωσις, σύναξις· πολλῶν προσώπων πρὸς σύσκεψιν καὶ λῆψιν ἀποφάσεων ἐπὶ σπουδαίων ζητημάτων, συμβούλιον : Πλάτ.Πρωτ.317D **συνέδριον κατασκευάσωμεν,** Αἰσχίν.3,89 **συνέδριον εἰς Χαλκίδα συνάγων,** Λουκ.Θε.Ε 15 **ξυναγαγεῖν ἅπαντας, ὅσοι ἀξιοῦσι συντελεῖν εἰς** τὸ συνέδριον, Γαλ.6,332 **τὸ χωρίον ἐν ᾧ συνέδριον ἦν αὐτῷ τῶν πολιτῶν,** Ἐπιγρ. **ὁμογνώμονες** τοῦ συνεδρίου **πάντες,** - **τὸ συνέδριον** τῶν **λειτουργῶν τῆς Μέσης** Ἐκπαιδεύσεως - **τῶν** Ἑλλήνων **βιομηχάνων,** - **συνέδριον εἰρήνης** (ἡ συνδιάσκεψις)· ‖ **συνεδρίασις,** σύσκεψις : Πάπ. **μεταπεμφθέντων εἰς κοινὸν συνέδριον τῶν δεκανῶν·** ‖ ἐπὶ πολεμικοῦ συμβουλίου : Ξεν.Ἑλλ.1,1,31 **Ἑρμοκράτης τὰ πολλὰ ἐν τῷ συνεδρίῳ εὐδόξει·** ‖ ἐπὶ τοῦ Ἀρείου Πάγου : Αἰσχίν.1,92, Δειν.1,54· ‖ **τὰ συνέδρια** οἱ 600 ὁμοῦ μετὰ τοῦ Ἀρείου Πάγου : Ἐπιγρ.· ‖ ἐπὶ συμβουλίου ἐμπορικῶν ὑποθέσεων : δημ.1324· ‖ ἐπὶ τῆς Ρωμαϊκῆς Συγκλήτου : Πολύβ.1,11,1,Πλούτ.Πύρρ.19· ἐπὶ τῆς γερουσίας τῆς Καρχηδόνος : Πολύβ.1,31,8· ‖ ἐπὶ τῆς ἐν Θάσῳ γερουσίας : Ἐπιγρ.· ἐπὶ τοῦ Ἰουδαϊκοῦ Sanhedrin, τῆς ἀνωτάτης δικαστικῆς ἀρχῆς ἐν ἀρχ. Ἰερουσαλὴμ : ΚΔ Ματθ.5,22 **ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ρακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ,** αὐτ.Λουκ.22,66 **ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον,** αὐτ.Πράξ.4,15, αὐτ.5,27, αὐτ.6,12, αὐτ. 22,30, Ἰώσ.ΑΙ 14,91· ‖ κ. ἐπὶ τοπικῶν συμβουλίων ἐν Ἰουδαίᾳ ἐξαρτωμένων ἐκ τῶν συναγωγῶν : ΚΔ Ματθ.10,17 **παραδώσουσι . . ὑμᾶς εἰς συνέδρια,** αὐτ.Μάρκ.13,9, Ἰουστιν.Πανδ.1,9,17· ‖ ἐπὶ τῆς συγκλήτου ἐν Κωνσταντινουπόλει : Λιβάν.Λόγ. 20,37· ‖ συνήθ. ἐπὶ συνελεύσεως ἀντιπροσώπων συμμάχων ἢ ὁμοσπόνδων πολιτειῶν : Ἡρ.8,56 **οἱ διαλυθέντες ἐκ τοῦ συνεδρίου ἐσέβαινον ἐς τὰς νέας,** αὐτ.75, Ξεν.Ἑλλ.7,1,39, Δημ.232 **κοινοῦ συνεδρίου τῶν Ἑλλήνων,** Αἰσχίν.2,70, αὐτ.3,58, Διόδ.Σ 16,89, Πλούτ.Ἀριστ.19 **καὶ νῦν ἔτι τὸ Ἑλληνικὸν ἐν Πλαταιαῖς ἀθροίζεται συνέδριον,** Ἐπιγρ. **τὸ συνέδριον τῶν Ἑλλάνων,** αὐτ. **συνέδριον ἁμῶν** (τῶν Ἀμφικτιόνων)· ‖ νεώτ. **ἐλεγκτικὸν συνέδριον** ἀρχὴ ἔχουσα ἔργον τὸν ἔλεγχον τῶν κρατικῶν οἰκονομικῶν ὑπηρεσιῶν· **2)** ὁ τόπος ἔνθα συνέρχεται τὸ συμβούλιον, αἴθουσα συνεδριάσεως· Φώτ. «συνέδριον καὶ τὸ χωρίον καὶ τοὺς θώκους ἐν οἷς συνεδρεύουσιν Ἀττικοὶ καλοῦσιν» : Ἡρ.8,79 **στὰς ἐπὶ τὸ συνέδριον ἐξεκαλέετο Θεμιστοκλέα,** Ξεν.Ἑλλ.2,4,23, Πολύβ. 2,39,1 **ἐνεπρήσθη τὰ συνέδρια τῶν Πυθαγορείων,** Δίων Κ 40,49 **ἔκαυσαν τὸ συνέδριον,** Πάπ. **τὸ χαλκοῦν μέτρον ἐν τῷ συνεδρίῳ·** **3)** νεώτ. τὸ σύνολον τῶν ἔν τινι τόπῳ συναθροισθέντων πρὸς σύσκεψιν προσώπων, ἡ ὁλότης τῶν μελῶν συνεδρίου, συμβουλίου : **τὸ συνέδριον ἀνέβαλε τὴν** λῆψιν ἀποφάσεως - **διέκοψε τὰς ἐργασίας.**

**συνεδρίτης** (ὁ) μτγν. ὁ ὁμοῦ μετά τινος ἀξιωματικὸς τῆς φρουρᾶς ὤν : Νικόλ.Δαμ.άπ.3J **συνεδρίτης ὢν αὐτῷ πρὸ τῶν βασιλείων θυρῶν.**

**σύνεδρος-ον** (ἕδρα) κ. νεώτ. κ. δημ. συγκάθεδρος, συγκαθήμενός τινι, μέλος συνεδρίου, συμβουλίου, ἐπὶ προσ. : Ἡρ.3,34 **Περσέων οἱ συνέδρων ἐόντων καὶ Κροίσου εἴρετο,** Σοφ.ΑΙ.749 **ἐκ . . συνέδρου καὶ τυραννικοῦ κύκλου** (ἐκ κύκλου τῶν συνεδρευόντων τυράννων), Εὐρ.ΙΑ 192 **κατεῖδον δὲ δύ' Αἴαντε συνέδρω·** **2) σύνεδρος** (ὁ, ἡ) ὡς οὐσ. ὁ ὁμοῦ μετ' ἄλλων καθήμενος, ὁ συνεδρεύων μετά τινος ἄλλου, ὁ πάρεδρος : Σοφ.ΟΚ 1382 **Δίκης ξύνεδρος Ζηνὸς . . νόμοις,** Θουκ.4,22 **ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι** (ἐκλεκτοὺς ἐπιτρόπους ἢ ἀντιπροσώπους), Ἐπιγρ.· ‖ **ἀπεσταλμένοι** ὅπως συνέρχωνται πρὸς σύσκεψιν **ἐν κοινῷ** συμβουλίῳ : Ἰσοκρ.8,29 **βιαζώμεθα τὰς πόλεις συντάξεις διδόναι καὶ συνέδρους ἐνθάδε πέμπειν,** Ὅρκος π.Δημ.747· **3)** κτ. πληθ. ὁμ. ὡς οὐσ. βουλή, βουλευταί : Ἐπιγρ. **γνώμη συνέδρων,** Ἐπιγρ. **οἱ σύνεδροι τῶν νησιωτῶν·** **4)** νεώτ. κ. δημ. τὸ ἀρσ. ὡς οὐσ. τακτικὸς δικαστὴς μετέχων τῶν συνεδριάσεων κακουργιοδικείου: **δικαστήριον τῶν συνέδρων** (ἀντίθ. δικαστήριον **τῶν ἐνόρκων**)· ‖ ὁμ. ὀνομ. τῶν δικαστῶν τοῦ **Συμβουλίου** Ἐπικρατείας καὶ τῶν τοῦ Γεν.Λογιστηρίου· **5)** ἐπὶ πτηνῶν, ὁ καθήμενος ὁμοῦ μετά τινος, ὁ φιλικὸς πρός τινα : Ἀριστλ.ΖΙ 609b,29 (πτηνὰ) **σύνεδρα δὲ τὰ εἰρηνεύοντα πρὸς ἄλληλα.**

**συνεείκοσι** ἐπ. ἀντὶ συνείκοσι βλ.λ. : 'Οδ.Ξ 98 οὐδὲ ξυνεείκοσι φωτῶν ἔστ' ἄφενος τοσσοῦτον.

**συνεζευγμένος**-η-ον μτχ. παθ. παρακ. τοῦ συζεύγνυμι βλ.λ., ὁ μετά τινος ἄλλου ἐζευγμένος, συνηνωμένος· ‖ εἰδ. μαθημ. συνεζευγμένη μέθοδος μέθοδος συγκειμένη ἐξ ἀλλεπαλλήλων ἁπλῶν μεθόδων τῶν τριῶν πρὸς λύσιν προβλημάτων μετατροπῆς ἀριθμητικῶν ποσῶν εἰς ἰσοδύναμα ἑτεροειδῆ ἐπὶ τῇ βάσει σχέσεων ἄλλων ἐνδιαμέσων ποσῶν· **2**) νεώτ. ὁ διὰ γάμου συνδεδεμένος, ὁ παντρεμένος.

**συνεζευγμένως** (ἐκ παθ. μτχ. παρακ. τοῦ συζεύγνυμι) ἐπίρρ. σχόλ. συνημμένως, συνδεδεμένως, κατὰ ζεύγη : Σχόλ.'Αριστφ.'Ορν.305.

**συνέζομαι**, μέσ. μέλλ.ἀπαρφ. συνεδεῖσθαι 'Ησ. «συγκαθῆσθαι» **2**) εἶμαι σύνεδρος βλ.λ.2) : 'Ελλ. 'Επιγρόμμ.395,4 συνεζόμενον βήματι Βιθυνικῶι (παρεδρεύοντα τῷ ἐν Βιθυνίᾳ στρατηγῷ).

**συνέηκα** ἰων. ἀντὶ συνῆκα, ἀόρ. α' τοῦ συνίημι.

**συνεθέλησις**-εως (ἡ) (συνεθέλω) μτγν. ἡ ἴση θέλησις, τὸ ἰσογνωμεῖν : Κύριλλ.6,661C.

**συνεθελητής** (ὁ) (συνεθέλω) μτγν. ὁ συνθελητής, ὁ ἔχων τὴν αὐτὴν μετ' ἄλλου θέλησιν, ὁ θέλων τὰ αὐτά, ὁ ἰσογνώμων, μτ. δοτ. προσ. : Κύριλλ. εἰς 'Ωσηὲ 4,12,74 συνθελητὴν τοῖς πλανωμένοις ἀποφαίνει τὸν Παιδευτήν, αὐτ.8,2,239.

**συνεθέλω** ἔχω τὴν αὐτὴν θέλησιν μετά τινος ἄλλου, ὁμογνωμῶ, συμφωνῶ, συναινῶ : 'Αντιφ.3, 2,8 οὐ συνηδομένων μὲν οὐδὲ συνεθελόντων, ἡμῶν, Πλάτ.'Επιστ.309Α, Ξεν.'Ιππαρχ.9,7 πάντα θεῶν συνεθελόντων· ‖ κ. μτ. δοτ. συμφωνῶ εἴς τι : Αἰν.Τακτ.11,13.

**συνεθίζω**, μέλλ. ἀττ. συνεθιῶ, ἐθίζω, συνηθίζω τινὰ εἴς τι, κάμνω νὰ συνηθίσῃ : Πλάτ.Πολ.589Α μηδὲν ἕτερον ἑτέρῳ ξυνεθίζειν μὴ φίλον ποιεῖν, Δημ.169 τὰ βέλτιστ' ἀκούειν ὑμᾶς συνεθίζω, Αἰσχίν.1,24, 'Αριστλ.Πολιτ.1336a,13 (τὰ τέκνα) πρὸς τὰ ψύχη συνεθίζειν ἐκ μικρῶν παίδων (ἐξοικειώνω, ἐξασκῶ εἰς τὸ νὰ ὑπομένωσι τὰ ψύχη)· κ. παθ. : Θουκ.4,34 ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι, Πλάτ. Θεαίτ.146Β, αὐτ.Πολιτ.285Α, 'Αριστλ.Πολιτ.1340a,16 δεῖ .. μανθάνειν καὶ συνεθίζεσθαι, Σωρ.1,89· κ. μτ. ἀπαρφ. : Ξεν.'Απομν.3,14,6 συνεθισθεὶς τὸν ἕνα ψωμὸν ἑνὶ ὄψῳ προπέμπειν, 'Ισοκρ.2,38 ἵνα συνεθισθῇς, ὅμοια τοῖς εἰρημένοις φρονεῖν· κ. μτ. δοτ. εἴς τι πρᾶγμα : 'Αριστλ.Πρ.917a,15, Φιλόδ.Μουσ.102Κ· ‖ ἀπροσ. συνειθισμένον ἦν ἔθος κατέστη : Λυσ.1,10 οὕτως ἤδη συνειθισμένον ἦν, ὥστε.· **2**) καθιστῶ τι σύνηθες, κοινόν : Φιλόδ. Μουσ.107Κ· **3**) ἀμτβ. κτῶμαι συνήθειαν, συνηθίζω ἐμαυτὸν εἴς τι, ἐξοικειοῦμαι εἴς τι : 'Επίκ.'Επιστ. 3,64U ἐν ταῖς ἁπλαῖς.. διαίταις συνεθίζειν· **4**) ρηματ. π. συνεθισμός.

**συνεθισμός** (ὁ) (συνεθίζω) μτγν. κ. μσν. ἡ ἐνέργεια καὶ τὸ ἀποτέλεσμα τοῦ συνεθίζειν βλ.λ., ὁ μετά τινος ἢ ὁ πρός τι ἐθισμός, συνήθεια : Πλωτῖν. 1,3,3, 'Ιουλ.Λόγ.8,248Α, Εὐστ.Πον.187,55.

**σύνεθνος**-ον μτγν. κ. μσν. ὁ ὁμοεθνής : Κύριλλ. Σκυθ. ἐν Κοτελ.3,339C ἔστεφαν ἑαυτοῖς 'Ιουλιανόν τινα σύνεθνον αὐτῶν, Βί.'Επιφαν.2,319C.

**συνειδέναι** ἀπαρφ. τοῦ σύνοιδα βλ.λ.

**συνειδησιαρχία** (ἡ) νεώτ. φιλοσ. γνωσιολογικὴ θεωρία, καθ' ἣν ὑποκείμενον τῶν πραγματικῶν ἐπιστημῶν εἶναι μόνον τὸ ἐν τῇ συνειδήσει δεδομένον.

**συνείδησις**-εως (ἡ) (συνειδέναι) κ. νεώτ., δημ. -η τὸ συνειδέναι τι μετά τινος, τὸ νὰ ἔχῃ τις γνῶσίν τινος ὁμοῦ ἢ συγχρόνως μετά τινος ἄλλου : Σωρ. 1,4 συνείδησις τῶν ἀλγημάτων (ἐπὶ μαίας)· **2**) ἀνακοίνωσις, γνωστοποίησις, πληροφορία, εἴδησις : Πάπ. ὅταν εἰσέλθῃς, εὑρήσεις συνείδησιν, αὐτ. συνείδησιν εἰσήνεγκεν τοῖς καλλήγαις αὐτῶν· **3**) γνῶσις, μάθησις : 'Ιππ.'Επιστ.1 λθε ταῦτα πάντα μὴ διαλείψας ἀγαθῇ συνειδήσει (δ.γρ. ἀγαθῇ τύχῃ)· **4**) κ. νεώτ. ἡ σαφής, ἡ ἀκριβὴς καὶ βαθεῖα γνῶσίς τινος, ἐπίγνωσις, συναίσθησις : Δημόκρ.297 συνείδησις τῆς κακοπραγμοσύνης, 'Ηρων Βελοπ.73 κατὰ συνείδησιν ἀτάραχοι διαμενοῦσι, Χρύσ.Στωικ.3,43 συνείδησις (τῆς αὑτοῦ συστάσεως), Φιλόδ.Ρητ.2,140S, Διόδ.Σ 4,65, ΚΔ Κορινθ.2,4,2 συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων, αὐτ.'Εβρ.10,2 μηδεμίαν ἔχειν .. συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, αὐτ.Πέτρ.1,2,19, - δὲν ἔχει συνείδησιν τῆς σοβαρότητος τῆς καταστάσεως - τῶν πράξεών του· **5**) εἰδ. ἡ ἐσωτερική, ἡ ἐνσυνείδητος γνῶσις, ἣν ἔχει τις τῆς ἰδίας ὑπάρξεως, τῶν ἰδίων σκέψεων : ΠΔ 'Εκκλ.10,20 καί γε ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ, ΚΔ Κορινθ.1,8,7 τῇ συνειδήσει τοῦ εἰδώλου (ἐσφ.γρ. ἀντὶ τῇ συνηθείᾳ)· ‖ νεώτ. φυσιολ. ἡ ἀντίληψις τοῦ ἔξω κόσμου ἐν σχέσει πρὸς τὸ ἐγώ, αἱ αἰσθήσεις καὶ ἡ συναίσθησις τοῦ ἐγώ : ἀπώλεσε τὴν συνείδησιν (ἔχασε τὰς αἰσθήσεις του), δὲν ἔχει συνείδησιν τῶν περὶ αὐτὸν συμβαινόντων· **6**) νεώτ. εἰδ. φιλοσ. τὸ ἐγὼ ὡς ἑνιαῖον κέντρον τῶν ψυχικῶν φαινομένων, εἰς ὃ ἀνάγονται καὶ δι' οὗ ὁ ἄνθρωπος διακρίνει ἑαυτὸν ἀπὸ τοῦ κόσμου καὶ τῶν λοιπῶν ἀνθρώπων· **7**) κ. νεώτ. κ. δημ. ἐνδόμυχος καὶ ἔμφυτος συναίσθησις, δι' ἧς ἕκαστος λαμβάνει γνῶσιν τοῦ ἀγαθοῦ ἢ κακοῦ χαρακτῆρος τῶν ἰδίων πράξεων, ἐσωτερικὴ ἐπίγνωσις καὶ κρίσις τοῦ ἠθικοῦ ποιοῦ τῶν ἰδίων πράξεων, αὐτοέλεγχος, αὐτοκριτική, αὐτεπίγνωσις : Βίας π. Στοβ.3,24,11, αὐτ.12, Μέν.Μον. 654 βροτοῖς ἅπασιν ἡ συνείδησις θεός, ΠΔ Σοφ.Σαλ.17,10 συνεχομένη τῇ συνειδήσει, Διον. 'Αλ.Θουκ.8, ΚΔ Πράξ.23,1 ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ, αὐτ.24,16, αὐτ.Τιμ. 1,3,9 ἐν καθαρᾷ συνειδήσει, Λουκ.'Ερωτ.49 οὐδεμιᾶς ἀπρεποῦς συνειδήσεως παροικούσης, Βέττ. Βάλ.210,1 κολαζομένους κατὰ συνείδησιν, 'Ανών. ἐν Πάπ. ἐὰν ἐγκλήματός τινος ἔχῃ συνείδησιν, 'Επιγρ. τὸν .. θεὸν κεχολωμένον ἔχοιτο καὶ τὴν ἰδίαν συνείδησιν, Πάπ. θλειβομένη τῇ συνειδήσει περὶ ὧν ἐνοσφίσατο, - ἔχει τύψεις συνειδήσεως, - ἔχει καθαρὰν τὴν συνείδησίν του, - ἄνθρωπος χωρὶς συνείδηση· **8**) νεώτ. ἠθικ. ἡ ἱκανότης τὴν ὁποίαν κέκτηται τὸ πνεῦμα εἰς τὸ νὰ ἐκφέρῃ αὐθορμήτους καὶ ἀμέσους κρίσεις περὶ τῆς ἠθικῆς ἀξίας ἢ ἀπαξίας τῶν πράξεών τινος· **9**) εὐσυνειδησία, εὐθύτης : Πάπ. βεβαίᾳ συνειδήσει ὀρθῇ διανοίᾳ· **10**) συνενοχή, ἐνοχή, ἔγκλημα : 'Επιγρ. περὶ τοῦ πεφημίσθαι αὐτὴν ἐν συνειδήσει τοιαύτῃ.

**συνειδητός**-ή-ό(ν) νεώτ. κ. δημ. ὁ ἐν συνειδήσει γινόμενος, τελούμενος : συνειδητὴ πρᾶξις· **2**) κ. δημ. ὁ ἔχων ἐπίγνωσιν, ἐναργῆ συνείδησιν πράγματός τινος, ὁ ἔχων ἀκριβῆ, πλήρη συναίσθησιν τῆς ἑαυτοῦ καταστάσεως : συνειδητὸς δημοκράτης - ἐργάτης.

**συνειδητῶς** ἐπίρρ. νεώτ., δημ. συνειδητά ἐν συνειδήσει, ἐνσυνειδήτως.

**συνεῖδον**, ἀπαρφ. -ιδεῖν, ἀόρ. β' τοῦ συνορῶ.

**συνειδοποιοῦμαι**-έομαι μτγν. παθ. εἰδοποιοῦμαι ὁμοῦ μετά τινος : Δαμάσκ.'Αρχ.102.

**συνειδώς**-ότος (ὁ) μτχ. τοῦ σύνοιδα βλ.λ., ὁ καλῶς, ἀκριβῶς γιγνώσκων, συναισθανόμενός τι : συνειδὼς ὅτι .. · ‖ τὸ οὐδ. συνειδὸς-ότος ὡς οὐσ. ἡ συνείδησις βλ.λ.6).

**συνειθίζω** ἐσφ. γρ. ἀντὶ συνηθίζω βλ.λ.

**συνεικάζω** μτγν. εἰκάζω, συμπεραίνω τι ἔκ δεδομένων, συγκρίνω : Πτολ.Τετράβ.120 τὰ καθ' ἕκαστον αὐτῶν εἴ τις πολυπραγμονοίη, συνεικάζοιτ' ἄν· **2**) μιμοῦμαι, ἀπομιμοῦμαι: 'Αθήν.9,391Β

σκώπτειν καλοῦμεν τὸ συνεικάζειν καὶ καταστοχάζεσθαι τῶν σκωπτομένων· **3)** συνείκασις.

**συνείκανα** Ἡσ. «σύνοδος» (πιθ.δωρ. συνοκανία).

**συνείκασις-εως** (ἡ) (συνεικάζω) μσν. τὸ συνεικάζειν : Καλλίμ.Χρυσ.1061 (ἔκδ.Λ).

**συνείκοσι** μ. ἐν τῷ τ. ξυνεείκοσι βλ.λ.

**συνείκω** (1) μτγν. κ. μσν. εἴκω, ὑπείκω, ἐνδίδω, ὑποχωρῶ ὁμοῦ : Πολύβ.32,19,3 **εἰ μὴ συνείξαντες τῷ καιρῷ,** αὐτ.5,71,10· κ. ἐπὶ πράγμ. : Διόδ.Σ 2,8 **αἱ δὲ περιφέρειαι τῇ τούτου βίᾳ συνείκουσαι,** Διοσκ.5,74, Σωρ.2,64 (κῶδ. συνήκει), Ἀνών.π.Σουΐδ. **σύνείκοντος τοῦ ξύλου πρὸς τὴν πληγήν.**

**συνείκω** (2), γ' ἐν. **συνείκει** (κῶδ.-κη) Ἡσ. «συμφέρει» : Ἐπιγρ. **οὐ .. μὴ συνείκῃ τοι ἄλλον τινὰ κατθέντι εἰς ταύταν τὰν σόρον** (ἀλλ' ὁ τ. πιθ. μτγν. ἀντὶ συνενείκῃ, ἀόρ. β' τοῦ συμφέρω).

**συνείκω** (3) πιθ. μτγν. τ. τοῦ δωρ. συνίκω, συνήκω : Ἐπιγρ. **ὅσα ποτὶ τὸ κοινὸν συν(ε)ίκει** (τὰ χρήματα).

**συνειλᾰπῑνάζω** μτγν. εἰλαπινάζω ὁμοῦ μετά τινος, συνευωχοῦμαι : Νόνν.Δ 11,76 **εἰλαπίνης φαύοντι συνειλαπίναζε Λυαίῳ.**

**συνείλεγμαι** α' πρόσ. παθ. παρακ. τοῦ συλλέγω.

**συνειλημμένως** (ἐκ μτχ. παθ.παρακ. τοῦ συνειλῶ) ἐπίρρ. μτγν. ἐν περιλήψει, περιληπτικῶς : Διον. Ἀρεοπ.Θείων Ὀνομ.5,566B **ἀσχέτως καὶ συνειλημμένως καὶ ἑνιαίως.**

**συνείλησις-εως** (ἡ) (συνειλῶ) μτγν. τὸ συνειλεῖσθαι, ἡ περιτύλιξις, ἐπὶ τοῦ χερσαίου ἐχίνου : Αἰλ.ΖΙ 6,64 **ὁ δὲ ἀποπνίγεται τοῦ πνεύματος ἔνδον ἐκ τῆς συνειλήσεως κατεσχημένον·** ‖ ἡ συνώθησις, ἡ σύνθλιψις : Σχόλ.Ἄρατ.156· **2)** σύνθεσις : Ἰάμβλ.Μαθ.Ἐπιστ.12 **ἀνάπλωσις καὶ συνείλησις.**

**συνείληφα** παρακ. τοῦ συλλαμβάνω βλ.λ.

**συνείληχα** παρακ. τοῦ συλλαγχάνω βλ.λ.

**συνείλοχα** ἀττ. παρακ. τοῦ συλλέγω βλ.λ., ἀντὶ συλλέλογα.

**συνειλύω** εἰλύω, τυλίσσω ὁμοῦ· EM 333,42 «παρὰ τὸ εἰλῶ εἰλύσω, τὸ συνειλύω, γέγονεν εἴλυτρον καὶ ἔλυτρον».

**συνειλῶ-έω** εἴλω ὁμοῦ, συνελαύνω, συνωθῶ ἐντὸς μιᾶς περιφερείας, συσσωρεύω, συγκλείω, στρυμώχνω : Ἡρ.3,45 **τὰ τέκνα καὶ τὰς γυναῖκας .. ἐς τοὺς νεωσοίκους συνειλήσας,** Αἰλ.ΖΙ 6,64 **ἑαυτὸν συνειλήσας** (ἐπὶ ἀκανθοχοίρου)· ‖ κ. παθ. συνειλοῦμαι συσσωρεύομαι ἢ συνθλίβομαι ὁμοῦ : Ξεν.Ἑλλ.7,2,8 **ὠθούμενοι ὑπ' αὐτῶν εἰς ἔλαττον συνειλοῦντο,** Ἰώσ.ΠΙ 4,8,4, αὐτ.5,3,1 **περὶ τὸν ναὸν συνειλούμενοι·** κ. ἀπολ. : Πλούτ.Ἀλέξ.60 **ἀναχωρεῖν .. πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς ἐκβιαζομένους,** Ἀρετ.Χρον.Παθ.1,7 **κύστις ξυνειλέεται εἰς ἑωυτήν,** Λουκ.ΒΠρ.14 **ἐς κυκεῶνα πάντα συνειλέονται·** ‖ τὸ παθ. μτφ. : Σέξτ.Ἐμπ. 7,304 **μείζονι συνειληθήσονται ἀπορίᾳ·** **2)** ἐπὶ πραγμ., συνάπτω, συνδέω ὁμοῦ, δένω εἰς ἓν δέμα : Ἡρ.4,67 **συνειλέουσι τὰς ῥάβδους ὀπίσω·** **3)** ῥηματ. π. συνείλησις.

**συνείμαρται** (μείρομαι) μτγν. εἶναι ὁμοῦ ὡρισμένον ὑπὸ τῆς μοίρας : Ἀριστείδ.Λόγ.24(44),56 **ἐκείνοις μὲν ἐκ παλαιοῦ τὸ ἄλογον τοῦτο τῆς δυστυχίας συνείμαρται·** ‖ ἡ μτχ. συνειμαρμένα τὰ ὑπὸ τῆς μοίρας ὁμοῦ ὡρισμένα : Πλούτ.Ἠθ. 569F **ἔστι τε εἱμαρμένα τρόπον τινὰ καὶ ταῦτα.. ἐκείνοις συνειμαρμένα,** Ἰω.Λυδ.Μην.4,81.

**σύνειμι** (1) (εἶμι) κ. μσν. πορεύομαι ὁμοῦ, πηγαίνω μαζί, συμπορεύομαι, συμβαδίζω, συνέρχομαι, συναθροίζομαι : Ἰλ.Δ 446 **ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,** Ἡρ.1,62 **ἐς τωὐτὸ συνιόντες,** Θουκ. 2,10 **ξυνῇσαν .. εἰς τὸν Ἰσθμόν,** ΚΔ Λουκ.8,4 **συνιόντος .. ὄχλου πολλοῦ·** **2)** ἐν ἐχθρικῇ σημ. συναντῶμαι μετά τινος ἐν μάχῃ, συμπλέκομαι, συγκρούομαι, πιάνομαι μὲ κάποιον : Ἰλ.Ξ 393 **οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ,** αὐτ.Ζ 120, αὐτ.Υ 66, Ἡσίοδ.Θ 686, αὐτ.705 **θεῶν ἔριδι ξυνιόντων·** κ. ἔμπροθ. (περί τινος, εἴς τι) : Ἰλ.Π 476 **τὼ δ' αὖτις συνίτην ἔριδος πέρι,** Ἡρ.1,80 **συνήισαν ἐς τὴν μάχην·** ‖ ἐπὶ πολιτειῶν, ἔρχομαι ἢ εὑρίσκομαι εἰς ἐμπόλεμον κατάστασιν : Θουκ.2,8 **ἥ τε ἄλλη Ἑλλὰς ἅπασα μετέωρος ἦν ξυνιουσῶν τῶν πρώτων πόλεων·** **3)** κ. ἐν εἰρηνικῇ σημ. συνέρχομαι πρὸς σύσκεψιν, συνδιάλεξιν ἢ συσκέπτομαι, συζητῶ : Θουκ.2,15 **ξυνῇσαν βουλευσόμενοι ὡς τὸν βασιλέα,** Λυκοῦργ.126 **ὑπόμνημα τοῖς καθ' ἑκάστην ἡμέραν συνιοῦσι καὶ βουλευομένοις,** Ἀριστλ.Πολιτ.1298a,17 **συνιέναι δὲ μόνον περί τε νόμων θέσεως·** ‖ κ. ἐπὶ συνωμοτῶν : Δημ.745, Δείν.1,94 **συνιέναι τοῖς φυγάσιν ἐπὶ καταλύσει τοῦ δήμου·** ‖ κ. ἐπὶ ἑορταστικῶν συναντήσεων, συναθροίσεων, πανηγύρεων : Πλάτ.Συμπ. 197D **τὰς τοιάσδε ξυνόδους μετ' ἀλλήλων πάσας τιθεὶς ξυνιέναι·** ‖ ὁμ. κ. ἐπὶ αὐτῆς ταύτης τῆς συνελεύσεως : Πλάτ.Νόμ.962C **τὸν σύλλογον, ὃν εἶπες νῦν δὴ νύκτωρ δεῖν ξυνιέναι·** **4)** φρ. **συνιέναι εἰς κοινωνίαν** συνέρχεσθαι εἰς γάμου κοινωνίαν, νυμφεύεσθαι : Πλάτ.Νόμ.773A **τὸν ὑποδεέστερον ἀεὶ τιμῶντα εἰς τὴν κοινωνίαν ξυνιέναι·** ‖ κ. ἐπὶ σαρκικῆς μείξεως, συνουσίας, ἰδ. ζῴων, συνέρχομαι, συνουσιάζομαι : Ἀριστλ.ΖΙ 540a,10 **οἱ δ' αἴλουροι, οὐκ ὄπισθεν συνιόντες, ἀλλ' ὁ μὲν ὀρθός, ἡ δὲ θήλεια ὑποτίθησιν ἑαυτήν·** **5)** ἐπὶ πραγμ., συνάγομαι, συναθροίζομαι, συλλέγομαι : Πλάτ.Τίμ.49C **ἀέρα ξυνιόντα καὶ πυκνούμενον νέφος,** Θεόφρ.ΦΑἰτ.2, 19,3 **ξυνιόντος καὶ οἷον πηγνυμένου τοῦ ὑγροῦ·** ‖ κ. ἐπὶ νεφῶν : Ἀριστλ.Μετ.364b,33· ἀντίθ. τοῦ χωρίζεσθαι : αὐτ.Γεν.Φθορ.327b,28· **6)** ἐπανέρχομαι, παλινδρομῶ : Πλάτ.Τίμ.58A **ἡ τοῦ παντὸς περίοδος .. κυκλοτερὴς οὖσα καὶ πρὸς αὐτὴν πεφυκυῖα βούλεσθαι ξυνιέναι·** **7)** ἐπὶ χρημάτων, ἔρχομαι ὁμοῦ, συνάγομαι, ἐσοδιάζομαι : Ἡρ.1,64 **τῶν .. ἀπὸ .. ποταμοῦ συνιόντων,** αὐτ. 4,1 **χρημάτων μεγάλων συνιόντων·** **8)** ἐπὶ πραγμ., συστέλλομαι : Ἀριστλ.Μετ.342a,19 **συνιέναι καὶ ψύχεσθαι·** **9)** ἐπὶ ἀστέρων, ἔρχομαι εἰς συζυγίαν : Μαν.2,423 **Ἄρης Ἠελίῳ συνιών·** ὁμ. κ. ἐπὶ τῆς σελήνης : Ἰω.Λυδ.Μην.3,11 **συνιούσης** (ἀντίθ. αὐξομένης)· **10)** μτγν. κ. μσν. συνετίζομαι, σωφρονίζομαι : Ἀκολουθ.Μεγ. Παρασκ. Ἀντίφων.3 **ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.**

**σύνειμι** (2) (εἰμί), μέλλ. **συνέσομαι** κ. δωρ. **συνεσσέομαι** (Ἐπιγρ.), ἠλει. γ' πληθ. ἐνεστ. εὐκτ. **συνέαν** (Ἐπιγρ.), εἶμαι μετά τινος, εἶμαι ἢ εὑρίσκομαι μαζὶ μὲ .., μτ. δοτ. πράγμ. : Ὀδ.Η 270 **ἦ γὰρ ἔμελλον ἔτι ξυνέσεσθαι ὀϊζυῖ** (νὰ ζῶ ἀκόμη μετὰ δυστυχίας, κτ. Σχολ. «συνεῖναι τῇ ταλαιπωρίᾳ»), Αἰσχ.Πέρσ.177 **ὀνείρασιν ξύνειμι** (ὀνειρεύομαι), Σοφ.ΟΤ 303 **οἵᾳ νόσῳ σύνεστιν** (νοσεῖ), αὐτ. Ἠλ.600, Ἀριστφ.Πλ.321 **τῷ κόπῳ ξυνεῖναι,** αὐτ. Νεφ.1404, αὐτ.Βάτρ.959 **πράγματα.. οἷς ξύνεσμεν** (εἰς τὰ ὁποῖα ἀσχολούμεθα), αὐτ.ἀπ.583, Θουκ.4,18 (μέρει πολέμου) **ξυνεῖναι,** Πλάτ.Πολ. 586A **εὐωχίαις .. καὶ τοῖς τοιούτοις .. ξυνόντες,** αὐτ.Νόμ.791B, Ξεν.Οἰκ.15,12 **γενναιοτάτους τοὺς αὐτῇ συνόντας ἡ γεωργία ἔοικε παρέχεσθαι,** Μέν.Κιθ.ἀπ.1,9 **τρυφερῷ βίῳ συνεῖναι,** Λουκ.Κρόν. 11 **ἀπορίᾳ καὶ ἀμηχανίᾳ σύνεσμεν,** αὐτ.Δὶς Κατ.3· ὁμ. κ. μτ. δοτ. προσ. : Σοφ.Ἀντ.372 **ὅτῳ τὸ μὴ καλὸν ξύνεστι,** αὐτ.ΟΚ 946 **ὅτῳ γάμοι ξυνόντες ηὑρέθησαν ἀνόσιοι,** αὐτ.ΟΤ 863, Εὐρ.Τρῳ.682· κ. ἀπολ. : Σοφ.ΟΚ 1244, αὐτ.Αἶ.338 **τοῖς πάλαι νοσήμασιν ξυνοῦσι,** αὐτ.ΟΚ 7 **χὠ χρόνος ξυνὼν μακρός·** **2)** ἐν ἀναφ. πρὸς πρόσ. εὑρίσκομαι εἰς σχέσεις μετά τινος, συναναστρέφομαί τινα, ζῶ μετά τινος, συζῶ : Σοφ.Ἠλ.264 **τοῖς φονεῦσι τοῦ πατρὸς ξύνειμι,** Εὐρ.ἀπ.897,7, Πλάτ.Πρωτ.

347C **ἀλλήλοις δι' ἑαυτῶν ξυνεῖναι** ἐν τῷ πότῳ, Ξεν.Ἑλλ.7,3,5, αὐτ.Ἀν.6,6,35 **ξυνῆν Ξενοφῶντι φιλικῶς·** κ. ἐμπροθ. (μετά τινος): Ἀριστφ.Πλ.504 **μετά σοῦ τά πλεῖστα σύνεισιν·** ὁμ. αὐτ.Σφ.236· κ. ἀπολ.: Εὔπ.337 **τόν νεανίσκον συνὼν διέφθορεν·** ‖ **οἱ συνόντες τινί** οἱ συνοδοιπόροι: ΚΔ Πράξ.22,11 **χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι ἦλθον εἰς Δαμασκόν·** **3)** ἐπί γυναικός, ζῶ μετ' ἀνδρός, συζῶ, συνοικῶ: Ἡρ.4,9 **βουλομένην ὡς πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέϊ,** Σοφ.Ἠλ.276, Πλάτ.Θεαίτ.149D **ποίαν χρὴ ποίῳ ἀνδρί σύνοῦσαν ὡς ἀρίστους παῖδας τίκτειν·** ‖ κ. ἐπὶ σαρκικῆς μείξεως, συνουσιάζομαι: Ἀριστφ.Ἐκκλ.619 **ἢν ταῖς αἰσχραῖσι συνῶμεν,** Ἀριστλ.Πολιτ.1262a,33 **ἄτοπον δὲ καὶ τό κοινοὺς ποιήσαντα τοὺς υἱοὺς τὸ συνεῖναι μόνον ἀφελεῖν τῶν ἐρώντων, τό δ' ἐρᾶν μὴ κωλῦσαι,** Πάπ.· ‖ κ. ἐπὶ ζῴων, ἐπιβαίνω, συζεύγνυμαι, ζευγαρώνω: Ἀριστλ.ΖΙ 540a,13 **προσάγονται τοὺς ἄρρενας εἰς τάς ὀχείας, καί συνοῦσαι κράζουσιν** (δ.γρ. συνιοῦσαι)· **4)** συχνάζω, φοιτῶ, συναναστρέφομαι, ἐπὶ μαθητοῦ: Ξεν.Ἀπομν.1,2,8 **τῶν συνόντων ἑαυτῷ τοὺς ἀποδεξαμένους ἅπερ αὐτός ἐδοκίμαζεν·** ὁμ.κ.ἐπὶ διδασκάλου: αὐτ.ΚΠ 3,1,14 **σοφιστήν τινα αὐτῷ συνόντα,** Πλάτ.Θεαίτ.151A **ἐνίοις μὲν τὸ γιγνόμενόν μοι δαιμόνιον ἀποκωλύει ξυνεῖναι·** ὁμ. κ. ἐπὶ συμμαθητοῦ: Γαλ.16,684 **ἐμοὶ συνών ποτε περὶ μαθήματα·** ‖ κ. ἐπὶ ἀκολούθου ἐν πολέμῳ: Ἀριστφ.Σφ.475 **καί ξυνὼν Βρασίδᾳ·** **5)** ἡ μτχ. κτ. πληθ. **συνόντες** οἱ ὀπαδοί, οἱ ἀκόλουθοι, οἱ ἑταῖροι, οἱ μαθηταί: Ἀντιφ.5,68 **εἰ .. τις ἠξίου τοὺς συνόντας ἐκείνῳ εἰκάζειν οἵτινες ἦσαν,** Πλάτ.Ἀπολ.25E **ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων,** αὐτ.Θεαίτ.168A **τοὺς συνόντας ἀντί φιλοσόφων μισοῦντας τοῦτο τὸ πρᾶγμα ἀποφανεῖς·** ‖ ὁμ. οἱ ξένοι, οἱ φιλοξενούμενοι, οἱ συνδαιτυμόνες: Ἀριστφ.Σφ.1300 **καί τῶν ξυνόντων πολὺ παροινικώτατος,** Ξεν. Συμπ.1,15· ‖ ὁμ. **οἱ συνόντες** οἱ συμπολεμισταί: Ξεν.ΚΠ 8,2,2 **προνοεῖν τῶν συνόντων·** **6)** εὐνοῶ, δεικνύω εὔνοιαν πρός τινα, βοηθῶ τινα: Αἰσχ.Ἑπτ.671 **Δίκη, ξυνοῦσα φωτί,** Σοφ.ΟΤ 275 **ἥ τε σύμμαχος Δίκη χοἱ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί,** αὐτ.863, Θουκ.4,18· **7)** συνοδεύω, συνυπάρχω μετά τινος: Σωρ.1,38 **οὐδὲ τῷ ὀρέγεσθαι τὸ εὔκαιρον σύνεστι,** αὐτ.26· **8)** ἔχω σχέσεις μετά τινος, συνδέομαι πρός τινα, μτ. δοτ.προσ.: Θουκ.4,83 **τὸ ἥμισυ τοῦ στρατοῦ ξυνέσται Ἀρραβαίῳ·** ‖ ἀσχολοῦμαι περί τι(να): Πλάτ.Ἀπολ. 25B **οἱ δὲ πολλοὶ ἐάν περ ξυνῶσι καὶ χρῶνται ἵπποις·** **9)** μετέχω, λαμβάνω μέρος εἴς τι μετά τινος: Πάπ. **συνεῖναι συνόδοις,** Πάπ. **ὑπογραφάντων πάντων τῶν συνόντων** (τῶν μελῶν τῆς συνόδου)· **10)** κ. ἀπολ. εἶμαι, ὑπάρχω ἐπὶ πλέον, προσέτι: Ἐπιγρ.Γορτ. **αἰ κα .. μὴ συννῆ** (συνῇ) **γνήσια τέκνα,** Γαλ.16,662 **ὅπου κεφαλαλγία σύνεστι·** **11)** κ. ἐπὶ τῶν οὐρανίων σωμάτων, εἶμαι, εὑρίσκομαι ἐν συζυγίᾳ: Μαν.1,78 **Ἥλιος δ' ἢν τῷδε συνῇ,** αὐτ.271, **αὐτ.3,2,** αὐτ.234 **Ζηνὶ συνὼν Κρόνος,** Γαλ.19,552.

**σύνειξις**-εως (ἡ) (συνείκω) **μτγν.** ὕπειξις, ὑποχώρησις, ἐνδοτικότης: Σωρ.Κατ.16 **ἐμπίεσμα διά τῆς κοιλότητος καὶ τῆς συνείξεως.**

**συνεῖπον,** προστ. σύνειπε (Ὑπερείδ. Λυκόφρ.201, ἀόρ. τοῦ συναγορεύω ἢ σύμφημι βλ.λς, ὁμιλῶ ἢ λέγω ὁμοῦ μετά τινος, ἐπιβεβαιῶ τι ὅπερ ἄλλος τις λέγει, μτ. δοτ. προσ. κ. αἰτ. πράγμ.: Ἰσοκρ.20, 22 **εἰ δέ τις τῶν παρόντων ἔχει τί μοι συνειπεῖν, ἀναβάς εἰς ὑμᾶς λεγέτω·** ‖ συμφωνῶ μετά τινος, μτ. δοτ. προσ.: Ξεν.ΚΠ 4,2,46 **ὁ μὲν οὕτως εἶπε, συνεῖπε δ' αὐτῷ Ὑστάσπας .. ὧδε·** ἀντίθ. ἀντειπεῖν: Λυσ.12,34 **θαυμάζω δὲ τί ἂν ποτε ἐποίησας συνειπών, ὁπότε ἀντειπεῖν φάσκων ἀπέκτεινας Πολέμαρχον·** **2)** μτ. δοτ. προσ. συνηγορῶ ὑπέρ τινος, ὁμιλῶ διά τινα ὑπερασπιζόμενος αὐτόν, ὑπερασπίζω τινά: Ἰσαῖ.4,1, Δημ.580 **τότ' ἔδει τόν γε φίλον δήπου συνειπεῖν καὶ βοηθῆσαι,** Πολύβ.23,8,13 **μὴ τολμῆσαι μηδένα συνειπεῖν τῷ βασιλεῖ·** ‖ γεν. βοηθῶ, ὑποστηρίζω, προστατεύω: Ἰσοκρ.Ἐπιστ.3,3 **ἐμὲ .. συνειρηκέναι ταῖς σαῖς ἐπιθυμίαις·** **3)** λέγω ὁμοῦ ἢ συγχρόνως μετά τινος, συνεκφράζω: Εὐρ.Ἱππ.257 **ὦ Θήβας ἱερὸν τεῖχος, ὦ στόμα Δίρκας, συνείπατ' ἂν ἁ Κύπρις οἷον ἔρδει** (δ.γρ. συνειδεῖτ')· **4)** μέσ. ἀόρ. α' **συνειπάμην,** συμφωνῶ, ἔρχομαι εἰς συνεννόησιν, συνεννοοῦμαι, μτ. ἀπαρφ.: ΠΔ Δαν.2,9 **ῥῆμα ψευδὲς .. συνείπασθε εἰπεῖν ἐνώπιόν μου** (δ.γρ. ἀντὶ συνέθεσθε), Διον.Ἀλ.5,51 **δούλων .. συνειπαμένων τάς .. ἄκρας καταλαβέσθαι καὶ .. ἐμπρῆσαι τὴν πόλιν·** κ. ἀπολ.: αὐτ.48 **Ῥωμαίων αἱ γυναῖκες ἅπασαι συνειπάμεναι .. ἐνιαύσιον ἐπένθησαν χρόνον·** κ.μτ.δοτ. προσ.: Πάπ. **καθάπερ σοι συνειπάμην** (ὅπως συμφωνήσαμε).

**συνειργνῦμι** μτγν. ἀττ. τ. τοῦ συνέργω βλ.λ.: Πλούτ.Ῥωμ.5 **τὴν Λαρεντίαν .. μετὰ τὸ δεῖπνον συνεῖρξεν,** αὐτ.Ἠθ.398B· κ. παθ.· Σουΐδ. «συνεῖρκτο, συνεφυλάττετο, συνεδέετο»: αὐτ.Ἀλέξ.2 **πρὸ τῆς νυκτὸς ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον,** αὐτ.Κράσσ.8, αὐτ.Ἠθ.493D **ὥσπερ ἐν δεσμῷ συνειργμένα.**

**συνείργω** ἀχρ. τ. τοῦ συνέργω βλ.λ.

**συνειρμικός**-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὸν συνειρμόν, ὁ τοῦ συνειρμοῦ: **συνειρμικὴ θεωρία** (ἡ ψυχολογικὴ θεωρία καθ' ἣν ἡ πνευματικὴ ζωὴ στηρίζεται ἐπὶ τῆς μηχανικῆς συνδέσεως τῶν ψυχικῶν φαινομένων, ἅτινα συζεύγνυνται πρὸς ἄλληλα κατὰ νόμους, ἄ. συνειρμισμός).

**συνειρμισμός** (ὁ) νεώτ. ἡ συνειρμικὴ θεωρία.

**συνειρμός** (ὁ) (συνείρω) κ. νεώτ. ἡ ἐνέργεια καὶ τὸ ἀποτέλεσμα τοῦ συνείρειν, σύναψις, συνάφεια, λογικὴ συνάρτησις, σχέσις, ἀλληλουχία, ἐπὶ λέξεων: Δημήτρ.180 **ἐν τῷ συνειρμῷ τῶν λόγων·** **2)** νεώτ. ψυχολ. ἡ αὐθόρμητος ἐπαναγωγὴ εἰς τὴν συνείδησιν παραστάσεώς τινος προκαλουμένη ὑπὸ ἄλλης μεθ' ἧς συνάπτεται καθ' ὡρισμένον τρόπον· ‖ ἡ σύνδεσις τῶν παραστάσεων ἀποτελοῦσα τὴν βάσιν τῆς ἀναπλάσεως αὐτῶν.

**σύνειρξις**-εως (ἡ) (συνείργω) μτγν. ἡ σύγκλεισις, ἡ σύσφιγξις: Ἀστέρ. ὁμ. 7)(89) (ἐκδ.Combefis) **ἡ τοῦ νόμου σύνειρξις** (πιθ.γρ.).

**συνείρω** κ. μσν. κ. νεώτ., αἰολ. θηλ. μτχ. ἀορ. συνέρραισ(α) (ἀμφ. ἐν Σαπφ.78), συνάπτω, συνδέω, συμπλέκω ὁμοῦ: Σαπφ.78 **ὄρπακας ἀνήτοιο συνέρραισα** (πιθ. γρ.), Ἀριστφ.Ὀρν.1079 **συνείρων τοὺς σπίνους πωλεῖ καθ' ἑπτὰ τοὐβολοῦ,** Πλάτ.Νόμ.654A **ᾠδαῖς τε καὶ ὀρχήσεσιν ἀλλήλοις ξυνείροντας,** αὐτ.Κρατ.425B **συνείρειν ὀνόματα** (σχετίζω ὀνόματα μετὰ τῶν ῥιζῶν αὐτῶν), Ξεν.Κυν.6,21 **ἀπὸ τούτου συνείρειν** (τοὺς κύνας) (ἄγειν τοὺς κύνας συνημμένους ἀπό τινος σημείου), Πλούτ.Ἠθ.494B, αὐτ.41F **τὰ ἀνθηρά καὶ εὐώδη τῶν φύλλων συνείρουσι καὶ διαπλέκουσιν,** Ἀριστείδ.1,143J συνείρων **στεφάνους·** **2)** κ. νεώτ. εἰδ. ἐπὶ τοῦ λόγου ἐν φρ. συνδέω ἢ **παρατάσσω,** ἀραδιάζω ἰδέας, λόγους, φράσεις κατὰ λογικὴν συνέχειαν, λόγους, ἐπιχειρήματα ἐκφέρω, συνάπτων κατὰ πραγματικὸν ἢ φαινομενικὸν εἱρμόν: Πλάτ.Πολιτ.267A **ξυνείρομεν ἐπανελθόντες ἐπὶ τὴν ἀρχὴν μέχρι τῆς τελευτῆς τὸν λόγον,** Δημ. 328 **λόγους συνείρει .. ἀπνευστεί,** Ἀριστλ.ΗΝικ. 1147a,21 **συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δ' οὔπω,** Πολύβ.10,47,9 **στίχους συνεῖρον,** Δίων Χρ. 2,3 **συνεῖραι ἀπνευστὶ περιόδους,** αὐτ.2,49, Λουκ. Τίμ.9 **λήρους μεγάλῃ τῇ φωνῇ ξυνειρόντων,** αὐτ.

Διόν.7, Ἀνν.Κομν.293D **αἰτίαν αἰτίᾳ συνείρων**· ‖ ἐκθέτω ἐν ἀφηγήσει διαδοχικῶς, **κατ'** ἀλληλουχίαν, ἐν λεπτομερείᾳ : Ἰσοκρ.15,184 **συνείρειν καθ' ἓν ἕκαστον ὧν ἔμαθον,** Διόδ.Σ.16,76 **τὰς ἑξῆς πράξεις συνείρει,** Λουκ.Ἀλ.22 **ξυνείρετε τὴν κατηγορίαν**· ‖ παρενθέτω ἐν λόγῳ : αὐτ.Νεκρ. Δ 2,2 **τὸ γνῶθι σαυτὸν πολλάκις συνείρων**· κ. παθ. : Ἀριστλ.ΖΓ 741b,9 **συνείρεται τὸ ἐφεξῆς** (στενῶς σχετίζεται, ἀκολουθεῖ ἀφ' ἑαυτοῦ), αὐτ. Μεταφ.986a,7 **συνειρομένην πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν** (συνεχὲς σύστημα), Ἀριστείδ.1, 529 **πάνθ' ὡς ἔπος εἰπεῖν, τὰ κάλλιστα συνείρετο**· **3)** κτ. φαινόμενον ἀμτβ. (ἐνν. λόγους), δημηγορῶ, διαλέγομαι : Λουκ.Προμ.5 **διαλεγάμενοι τὴν κατηγορίαν, σὺ μὲν περὶ τῆς κλοπῆς ἤδη σύνειρε**· ‖ συνάπτω, συναρμολογῶ, ἐξακολουθῶ ὁμιλῶν ἐπὶ τῆς αὐτῆς ὑποθέσεως : Ἀριστλ. Τοπ.158a,37, αὐτ.Μεταφ.965a,10, αὐτ.1093b,27, αὐτ. Ἑρμ.464b,4 **συνείρειν εἰς τὸ πρόσω,** αὐτ.ΖΓ 716a,4 **ἀπὸ τῶν εἰρημένων συνείροντας**· ‖ συνηθέστ.ἐξακολουθῶ, συνεχίζω, μτ. μτχ. : Ξεν.ΚΠ 7,5,6 **ξυνεῖρον ἀπιόντες** (ἀπῆλθον χωρὶς νὰ σταθῶσί που), Ἀριστλ.Φυσ.262a,16 **συνείρειν κινούμενον** (κινοῦμαι συνεχῶς, ἐξακολουθῶ κινούμενος), Διοκλ.Καρ. ἀπ.142· ‖ κ. ἀπολ. εἶμαι συνεχὴς ἢ συνημμένος : Ἀριστλ.Σοφ.Ἐλ.175a,30, αὐτ.Μετ.362b,29 **διὰ τὴν θάλασσαν οὐ φαίνονται συνείρειν, ὡς συνεχῶς εἶναι πᾶσαν τὴν οἰκουμένην,** αὐτ.Γεν.Φθορ.318a, 13, Ἐπίκ.Ἐπιστ.3,64U· **4)** ρηματ.π. συνειρμός.

**συνεισάγω** κ. μσν. κ. νεώτ. εἰσάγω ὁμοῦ ἢ συγχρόνως μετά τινος, εἰσφέρω σύναμα, μαζί : Ξεν.ΚΠ 3,2,24 **συνετείχιζόν τε . . ὡς κοινὸν φρούριον καὶ τὰ ἐπιτήδεια συνεισῆγον,** Πλούτ.Ἠθ. 91B **ἡ ἔχθρα συνεισάγουσα τῷ μίσει φθόνον,** Ἱεροκλ.Πλ.Χρ.Ἐπ.428M, αὐτ.22,468M, Πάπ. **τὰ ἱερὰ ὀφειλήματα συνεισάγειν**· κ. παθ. : Σέξτ.Ἐμπ. Πυρρ.2,86 **ᾧ συνεισάγεται τὸ μηδὲν εἶναι ψεῦδος,** Δίων Κ 38,14, Στέφ.Ἀθ.Ἱππ.1,107D· ‖ τὸ μέσ. συνεισάγομαι ἐν τῇ αὐτῇ σημ. : Πάπ. πυροῦ (ἀρτάβας) **συνεισάγεσθαι τῇ ἐφετείᾳ φορολογίᾳ**· ‖ νεώτ. παθ. ἐπὶ δικῶν, εἰσάγομαι πρὸς ἐκδίκασιν ὁμοῦ μετ' ἄλλης· ‖ ὁμ. κ. ἐπὶ νομοσχεδίων· **2)** ρηματ.π. συνείσακτος.

**συνείσακτος**-ον μτγν., μσν. κ. νεώτ. ὁ ὁμοῦ μετά τινος ἄλλου εἰσαχθείς· Γλωσσ. «**synisactas, sociatrices, pudicas vel abstinentes**»· **2)** εἰδ. ἐκκλ. τὸ ἀρσ. **συνείσακτος** ὡς οὐσ. ὁ ἀγαπητός, ἤτοι πνευματικὸς ἀδελφός : Γρηγ.Ναζ.4,88,91, Ἀθανάσ.2,361A· ‖ ὁμ. κ. τὸ θηλ. συνείσακτος δηλ. παρθένος, ἡ ἀγαπητή, ἡ πνευματικὴ ἀδελφή : Γρηγ.Ναζ.4,78,Βασ.2,820, Μαλχίων 256· **3)** εἰδ. **θυγατέρες συνείσακτοι** νόθοι· Εὐστ.Ὀδ.1954,8 «**πιθανὸν τὰς μὴν ἐκ μιᾶς τῆς Δωρίδος γνησιωτέρας τῶν ἄλλων οὔσας Νηρέως θυγατέρας λέγεσθαι, Νηρεΐδας δὲ τὰς συνεισάκτους**».

**συνεισάλλομαι** μτγν. εἰσάλλομαι, εἰσπηδῶ ὁμοῦ ἢ συγχρόνως : Συνέσ.Ἐπιστ.35,179B **οὐκ ἂν αὐτὸν λάθοι δημόσιος ἐπὶ διαθήκῃ καλούμενος, ἀλλὰ συνεισάλλεται.**

**συνεισβαίνω** εἰσβαίνω, ἐπιβαίνω, ἐπιβιβάζομαι ἐπὶ πλοίου ὁμοῦ ἢ συγχρόνως μετά τινος : Αἰσχ. Ἑπτ.602 **ξυνεισβὰς πλοῖον . . ναύταισι,** Εὐρ.Μήδ. 477 **ὅσοι ταὐτὸν ξυνεισέβησαν Ἀργῷον σκάφος,** Ἀντιφ.5,82 **συνεισβάντες εἰς τὸ πλοῖον.**

**συνεισβάλλω** κ. νεώτ. ἀμτβ. εἰσβάλλω ὁμοῦ ἢ συγχρόνως μετά τινος, κάμνω εἰσβολὴν εἴς τινα χώραν ὁμοῦ ἢ ἀπὸ κοινοῦ μετά τινος : Ἡρ.9,17 **οἱ . . ἄλλοι παρείχοντο . . στρατιὴν καὶ συνεσέβαλλον ἐς Ἀθήνας**· κ. ἐμπροθ. (μετά τινος) : Ξεν. Ἑλλ.6.5,22 **συνεισβεβλήκεσαν εἰς τὴν Ἀρκαδίαν μετὰ τῶν Λακεδαιμονίων**· κ. ἀπολ. : Θουκ.2,31 **μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τρισχιλίων ὁπλιτῶν,** αὐτ.4,94· ‖ ἐπιτίθεμαι, προσβάλλω ὁμοῦ ἢ συγχρόνως μετά τινος, συνεπιτίθεμαι : Ξεν.ΚΠ 7,1,38 **συνεισέβαλον . . αὐτῷ καὶ οἱ ἐγγύτατα**· **2)** εἰσέρχομαι μετά τινος, ἐμπροθ. (σύν τινι) : Ἰώσ.ΠΙ 3,7,31 **συνεισβάλλειν σύν τισι**· ‖ ἰατρ. ἐπὶ συμπτωμάτων, ἀναφαίνομαι, ἐμφανίζομαι ὁμοῦ ἢ συγχρόνως μετά τινος : Γαλ.17(2),390 **συνεισβάλλειν τῷ νοσήματι,** αὐτ.17 (1).503· κ. ἐπὶ τῆς σωματικῆς καταστάσεως ἢ κράσεως : αὐτ.10,234· ‖ ὁμ. κ. ἐπὶ τῆς ἀτμοσφαιρικῆς καταστάσεως : Γαλ.17(1),24· **3)** συνεισβολή.

**συνεισβολή** (ἡ) μτγν. κ. μσν. ἡ ἀπὸ κοινοῦ γενομένη εἰσβολή, ἔφοδος, ὁμαδικὴ ἐπίθεσις : Εὐστ. Ἰλ.76,10 **μάχη ἡ τῶν ἀνδρῶν συνεισβολή.**

**συνεισδίδωμι** ἐπιτρέπω, παραχωρῶ τι ὁμοῦ μετά τινος : Πάπ. **συνεισέδωκέ μοι συγχώρησιν.**

**συνεισδύω** κ. μσν. κ. συνεισδύνω εἰσδύω, ὁμοῦ ἢ συγχρόνως μετά τινος : Ἀριστλ.Θαυμ. 838b,5, Νικήτ.Εὐγ.7,148,αὐτ.8,42 **συνεισδύνειν.**

**συνείσειμι** (εἶμι) κ. μσν. εἴσειμι, εἰσέρχομαι ὁμοῦ ἢ συγχρόνως : Ἀριστλ.Ἀνοπν.472a,9 **εἰσιόντος τοῦ ἀέρος συνεισιόντα ταῦτα,** αὐτ.Χρωμ. 794a,26, Ἀθηνί.1,45 **δεῦρο σὺ ξυνείσιθι ἐμοί,** Πλούτ. Ἠθ.674D, αὐτ.713C **ἡδονὴν ἐν οἴνῳ συνεισιοῦσαν,** Δίων Κ ἀπ.45,6 **ἐς τὸ τάφρευμα συνεισιόντες,** Νικήτ.Παφλ. in Hyacinthi Laud.10 Boiss.

**συνεισελαύνω** μτγν. κ. μσν. ἀμτβ. εἰσελαύνω, εἰσέρχομαι ὁμοῦ ἢ συγχρόνως : Πλούτ.Ἀρτξ.13 **συνεισελάσαι πάλιν εἰς τὸ στρατόπεδον,** αὐτ. Ἠθ.814D· **2)** μσν. μτβ. εἰσελαύνω, ἐλαύνω, ἄγω ἐντὸς ὁμοῦ ἢ συγχρόνως : Στουδ.Θεόδ.601,16,3 **συνεισελαύνει τοὺς γυρευτὰς εἰς μέσον.**

**συνεισένεξις**-εως (ἡ) (συνεισφέρειν) **γλωσσ.** συνεισφορά βλ.λ.

**συνεισέρχομαι** εἰσέρχομαί που ὁμοῦ ἢ συγχρόνως μετά τινος : Εὐρ.Ἑλ.327 **θέλω κἀγώ σοι συνεισελθεῖν δόμοις**· κ. ἐμπροθ. (ἔς τι, ἔν τινι) : αὐτ.1083 **ἐς οἴκους σοί συνεισελθεῖν με χρή,** Θουκ. 4,57 **ξυνεσελθεῖν . . ἐς τὸ τεῖχος,** Πλούτ.Δημήτρ. 36 **συνεισελθεῖν εἰς τὸν ἀνδρῶνα,** αὐτ.Φωκ.22 **συνεισελθεῖν εἰς τὸ δικαστήριον,** ΚΔ Ἰω.18,15 **συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως,** αὐτ.6,22 **συνεισῆλθε τοῖς μαθηταῖς . . εἰς τὸ πλοιάριον,** Πάπ. **συνεισελθεῖν εἰς τὴν οἰκίαν,** Ἐπιφάν.1,911D **εἰς τὴν Ἱερουσαλὴμ συνεισῆλθον αὐτῷ**· κ. μτ. ἐπιρρ. : Ἀνδοκ.4,17 **συνεισελθεῖν οἴκαδε**· ‖ κ. ἐπὶ πραγμ. : Γαλ.Χρ.Μορ.8,7, Σέξτ. Ἐμπ.Πυρρ.1,10 **πῶς δὲ τῇ ἐποχῇ συνεισέρχεται ἡ ἀταραξία,** Λιβάν.Λόγ.64,12 **ἅμα δὲ τῷ γάμῳ καὶ δόξα βελτίων συνεισέρχεται.**

**συνεισευπορῶ**-έω μτγν. εἰσευπορῶ προσέτι, χορηγῶ, παρέχω, προμηθεύω πρὸς τούτοις : Ἀθήν.9,367B **ἡμεῖς οὖν σοι τοσαῦτα ζητοῦντι συνεισευπορήσαμεν.**

**συνεισέφρησε** ἀττ. γ' προσ. ἀόρ. α' τοῦ συνεισφορῶ βλ.λ.

**συνεισηγοῦμαι**-έομαι μτγν. εἰσηγοῦμαί τι ὁμοῦ ἢ ἀπὸ κοινοῦ μετά τινος, ὁμοῦ προβάλλω, προτείνω τι : Πλούτ.Ἠθ.795B **ὑποτιθέμενος καὶ συνεισηγούμενος . . λόγους . . χρηστούς.**

**συνεισθέω** μτγν. εἰσθέω ὁμοῦ, τρέχω μέσα μαζί : Κύριλλ.4,669C **τῆς ἀγαθουργίας οἱ τρόποι τῇ τῆς φαυλότητος ἀνατροπῇ συνεισθέοντες.**

**συνεισθρῴσκω** π.Ἡσ. ἐν τῷ τ. **συνεισθορεῖ,** ἄνευ ἑρμ., εἰσθρῴσκω, πηδῶ ἐντὸς μετά τινος.

**συνεισιών** μτχ. ἐνεστ. τοῦ συνείσειμι βλ.λ.(ΙΙ).

**συνεισκατοικῶ**-έω κατοικῶ ἐντὸς ὁμοῦ μετά τινος : Ἱππ.Ἐπιστ.23 **ὁ ἐγκέφαλος ὑμέσι νευρώδεσι συνεισκατοικέων** (ἀμφ.γρ.).

**συνεισκομίζω** μτγν. εἰσκομίζω, εἰσφέρω, εἰσάγω ὁμοῦ μετά τινος : Κύριλλ.2,18C **τὸν περὶ τοῦ υἱοῦ συνεισκεκομίσθαι λόγον,** αὐτ.9,948.

**συνεισκρίνω** μτγν. κ. μσν. εἰσκρίνω, ἐνεργῶ ὥστε νὰ εἰσέλθῃ τι ὁμοῦ ἢ συγχρόνως μετά τινος: Στουδ.Θεόδ.579Β **τὸ κατ' αὐτὴν λατρευτὸν τῇ τριαδικῇ λατρείᾳ συνεισκρίνειν**· κ. παθ.: Πλούτ.'Ηθ.902Α **ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύματος συνεισκρίνεσθαι τὴν ὀδμήν**, Στουδ.Θεόδ. 580Α· κ.ἐπὶ χημ. ἀντιδράσεων: ΨΔημόκρ.'Αλχ.43Β.

**συνεισοδεύω** μσν. εἰσοδεύω, εἴσειμι, εἰσέρχομαι ὁμοῦ μετά τινος: Νικήτ.Θεσσ. ἐν Συντ.Καν. 5,382, Παχυμ.Γ 2,85,12 (ἔκδ.Β).

**συνεισοικίζομαι** μσν. εἰσοικίζομαι ὁμοῦ μετά τινος: Μιχ.'Ακομ.1,325,26 (ἔκδ.Λ).

**συνείσομαι** μέλλ. τοῦ σύνοιδα βλ.λ.

**συνεισπέμπω** μτγν. εἰσπέμπω ὁμοῦ ἢ συγχρόνως, συναποστέλλω: Αἰλ.ΠΙ 12,43 **τοῖς δούλοις, οὓς συνεισέπεμπον τοῖς υἱοῖς οἱ πατέρες** (κῶδ., διόρθ. Κορ. συνεξέπεμπον).

**συνεισπηδῶ-άω** μτγν. κ. μσν. εἰσπηδῶ ὁμοῦ ἢ συγχρόνως μετά τινος: 'Αππ.Μιθριδ.98 **φεύγουσι τάχ' ἂν καὶ ἐς τὸ στρατόπεδον συνεισεπήδησαν**, Κ Μανασσ.Χρον.1400.

**συνεισπίπτω** κ. μσν. εἰσπίπτω ὁμοῦ ἢ συγχρόνως μετά τινος, ρίπτομαι εἴς τι μετά τινος, ἐμπροθ. (εἴς τι): Ξεν.'Αν.5,7,25 **φεύγουσι δράμῳ καὶ ἐμπίπτουσιν εἰς τὴν θάλασσαν. ξυνεισέπεσον δὲ καὶ ἡμῶν αὐτῶν τινες**, Δίων Κ 57,1 **ἐς τὸν ποταμὸν συνεσπεσών**· **2**) ἐμπίπτω, εἰσορμῶ ὁμοῦ ἢ συγχρόνως μετά τινος, ἰδ. ἐπὶ στρατιωτῶν καταδιωκόντων πολιορκουμένους μέχρι τῶν πυλῶν καὶ εἰσορμώντων μετ' αὐτῶν εἰς τὴν πόλιν: 'Ηρ.3,55 **συνεσπεσόντες φεύγουσι ἐς τὸ τεῖχος τοῖσι Σαμίοισι**, αὐτ.78, αὐτ.9,102, Θουκ.6,100 **αὐτοῖς ξυνεσέπεσον οἱ διώκοντες**, Ξεν.'Ελλ.7,2,7 **οἱ .. πολῖται συνεισπίπτουσιν αὐτοῖς**· κ. ἐμπροθ. (μετά τινος, σύν τινι): 'Αριστφ.'Εκκλ.1095 **ξυνεισπεσοῦμαι γὰρ μετὰ σοῦ**, Ξεν.'Αν.7,1,18 **συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ χρόνῳ**, αὐτ.'Ελλ.4,7,6 **δείσαντες μὴ συνεισπέσοιεν κατὰ τὰς πύλας**· κ. ἀπολ.: Λυσ.3,15 **οὗτοι δὲ συνεισπεσόντες ἦγον αὐτὸν βίᾳ**· ‖ κ. ἐπὶ πυρετῶν, ἐπέρχομαι, ἐμφανίζομαι αἰφνιδίως ὁμοῦ ἢ συγχρόνως: Παῦλ.Αἰγ.4,22.

**συνεισπλέω** εἰσπλέω ὁμοῦ ἢ συγχρόνως: Ξεν. 'Ελλ.1,6,16 **Καλλικρατίδας .. συνεισέπλευσεν εἰς τὸν λιμένα**· κ. ἀπολ.: Εὐνάπ.ΒΣοφ.485Β.

**συνεισποιῶ-έω** μτγν. εἰσποιῶ, εἰσάγω τινὰ συγχρόνως εἴς τι, δέχομαι νὰ μετάσχῃ τις εἴς τι: Πλούτ.'Ηθ.482Β **ταῖς ὑπουργίαις καὶ χάρισι συνεισποιεῖν .. τὸν ἀδελφόν**, αὐτ.484D **συνεισποιοῦντα ταῖς φιλίαις** (τὸν ἀδελφόν).

**συνεισπορεύομαι** μτγν. εἰσπορεύομαι, εἰσέρχομαί που ὁμοῦ ἢ συγχρόνως μετά τινος· κ. μτφ.: Διον.'Αλ.Ρωμ.9,52 **τὸ ἔθος τὸ συνεισπορευόμενον ἅμα τούτῳ**, Φίλ.1,112 **ὁ λογισμὸς συνεισπορεύεται ταῖς γνώμαις**.

**συνεισπράσσω**, ἀττ. -ττω., εἰσπράττω, ἰδ. χρήματα ὁμοῦ ἢ ἀπὸ κοινοῦ μετά τινος, βοηθῶ εἰς τὴν εἴσπραξιν βλ.λ.1): Δημ.1205 **δέομαι οὖν ὑμῶν συνεισπρᾶξαί μοι τοὺς ὀφείλοντας, ἃ μοι ὁ πατὴρ κατέλιπεν**, Δίων Κ 48,43 **συνεισπράττειν τὰ χρήματα**· κ. ἐμπροθ. (παρά τινος): Διον.'Αλ. Ρωμ.10,11 **συνεισπράττειν τιμωρίας παρά τινων**.

**συνεισρέω** μτγν. κ. μσν. εἰσρέω ὁμοῦ ἢ συγχρόνως: 'Ιώσ.ΠΙ 2,17,6 **συνεισρυέντας πολλοὺς τῶν σικαρίων**, Αἰλ.ΖΙ 1,2.

**συνεισρυῶ-έω** μσν. ἀντὶ συνεισρέω βλ.λ.: Νεῖλ.ἐν Κοτελ.3,193Β **μήποτε τῇ παραδοχῇ τῆς κεφαλῆς καὶ τὸ λοιπὸν σῶμα συνεισρυῇ**.

**συνειστρέχω** κ. μσν. εἰστρέχω, εἰσορμῶ ὁμοῦ ἢ συγχρόνως μετά τινος: Αἰν.Τακτ.39,1,2 **συνεισδραμεῖν εἰς τὴν πόλιν**, αὐτ. **τοὺς τῶν πολεμίων συνειστρέχοντας**, 'Αππ.Λιβ.113 **εἰς τὴν πόλιν διὰ τῆς πύλης συνεσέδραμον**, Τζέτζ.Χιλ.12,290.

**συνεισφέρω** κ. μσν. κ. νεώτ., ἀόρ. **συνεισήνεγκον** κ. **συνεισέφερα**, εἰσφέρω, προσφέρω, καταβάλλω ὁμοῦ ἢ ἀπὸ κοινοῦ εἰσφορὰν βλ.λ.5): Ξεν.'Ελλ.2,1,5 **συγκαλέσας τοὺς Χίους χρήματα ἐκέλευσε συνεισενεγκεῖν** (δ.γρ. συνενεγκεῖν), Διον. 'Αλ.Ρωμ.4,11 **ἀπὸ τῶν τιμημάτων τὰς εἰσφορὰς συνεισφέρειν**· ‖ κ. νεώτ. εἰσφέρω, προσφέρω καὶ ἐγὼ χρήματα μετ' ἄλλων, συγχορηγῶ: 'Επιγρ., Πάπ. **συνεισφέρω τὸν ὀβολόν μου - χρήματα**· **2**) μτφ. συνεργῶ, συντελῶ εἴς τι ὁμοῦ ἢ ἀπὸ κοινοῦ μετά τινος, ἐμπροθ. (ἐπί, εἰς, πρός τι): Πτολ. Γεωγρ.1,6,2 **εἰκότως προήχθημεν ὅσον ᾠόμεθα δεῖν τῇ τἀνδρὸς πραγματείᾳ συνεισενεγκεῖν ἐπὶ τὸ εὐλογώτερον**, Σωρ.1,33 **συνεισφέρειν εἴς τι**, Θεμίστ.Λόγ.7,88Α **πρὸς τὸ κρατῆσαι ῥοπήν τινα συνεσήνεγκαν**· **3**) τὸ μέσ. προσφέρω τι ὁμοῦ ἢ συγχρόνως μετά τινος: 'Αλκίφρ.3,35 **συνεισηνέγκατο ὁ μὲν κριόν, ὁ δὲ τράγον**, 'Επιφάν.1,996Β **τί ἐκ τούτων τῷ βίῳ συνεισενεγκάμενοι ἀγνοῶ λέγειν**· **4**) τὸ ἐνεργ. μτφ.: π.Λιβάν.Λόγ.64,74 **ὃς ἂν μὴ συνεισενέγκῃ τὰ σχήματα τοῖς λόγοις** (ἐὰν δὲν κάμῃ χειρονομίας ἀναλόγους πρὸς τοὺς λόγους)· ‖ μσν. προσφέρω, ἀπονέμω τινί τι ὁμοῦ ἢ συγχρόνως μετά τινος: Μιχ.'Ατταλ.ἐν Σάθ. 1,5 **ὤφειλον .. τῷ τῶν τοσούτων ἀγαθῶν δοτῆρι θεῷ ἀναλογοῦσαν τὴν εὐγνωμοσύνην .. συνεισενεγκεῖν**· **5**) ἐν τῇ κυρ. σημ. παρεισάγω ἢ παρέχω τι συγχρόνως: Σωρ.2,62, Φιλούμ.π.'Ορειβ. 45,29,23· **6**) τὸ μέσ. εἰσφέρω, εἰσάγω, εἰσκομίζω μετ' ἐμαυτοῦ: 'Υπερείδ.άπ.6,7(Bl.) **οἱ πολλαχόθεν εἰς μίαν πόλιν συνεληλυθότες οἰκοῦσι γένος ἴδιον ἕκαστος συνεισενεγκάμενος**· **7**) τὸ παθ. ἐπὶ περιουσίας, καταβάλλομαι εἰς κοινὸν ταμεῖον ὑπ' ἀμφοτέρων τῶν μερῶν χάριν συνοικεσίου: Πάπ.· **8**) ῥηματ.π. συνεισφορά, συνείσφορος.

**συνεισφορά** (ἡ) (συνεισφέρω) μτγν., μσν. κ. νεώτ. ἡ ἀπὸ κοινοῦ γενομένη εἰσφορὰ βλ.λ.4), ἔρανος, συμβολὴ εἰς δαπάνην ἢ ἔργον ἢ ὡρισμένον τινὰ σκοπόν: 'Ασπάσ.ΗΝικ.73,2, Πολυδ.8,157, Γρηγ. Νύσσ.1,128Δ **τὴν παρ' ἑκάστου συνεισφοράν**, 'Ιω.Κων/πόλεως π.Bandin.Bibl.Med.1,76D **εἰ δέ τινα τῶν μοναστηρίων τύπον εἶχον ἐκ παλαιοῦ συνεισφορὰν συνεισφέρειν ταῖς μητροπόλεσιν**, 'Επιγρ., Πάπ., - **συνεισφοραὶ ὑπὲρ τῶν πτωχῶν τῆς ἐνορίας**· ‖ νεώτ. νομ. τὰ παρ' ἑκάστου τῶν συνεταίρων συνεισφερόμενα περιουσιακὰ στοιχεῖα πρὸς ἀπαρτισμὸν τοῦ ἑταιρικοῦ κεφαλαίου· **2**) ὁμ. νεώτ. νομ. ναυτ. ἡ ἐπακολουθοῦσα γενικὴν ἀβαρίαν κατ' ἀναλογίαν ἀποζημίωσις τῶν ἰδιοκτητῶν τῶν ὑπὲρ τῆς κοινῆς σωτηρίας πλοίου καὶ φορτίου θυσιασθέντων πραγμάτων ἐκ μέρους ἐκείνων, τῶν ὁποίων τὰ πράγματα διεσώθησαν ἐκ τοῦ κοινοῦ κινδύνου· **3**) ὁμ. νεώτ. νομ. ἡ ὑποχρέωσις ὡρισμένων κληρονόμων, ὅπως καταθέσωσι στοιχεῖα τῆς ἰδίας αὐτῶν περιουσίας πρὸς διανομὴν μεταξὺ αὐτῶν καὶ τῶν λοιπῶν συγκληρονόμων.

**συνείσφορος-ον** (συνεισφέρω) ὁ ὑπεύθυνος διὰ τὴν καταβολὴν συνεισφορᾶς ἢ φόρου: Πάπ. **συνείσφορος τοῖς .. στεφάνοις**, Πάπ. **συνείσφορος τῇ γινομένῃ δαπάνῃ**.

**συνεισφρέω** εἰσφρέω ὁμοῦ· 'Ησ. «συνεισέφρησεν, συνεισήνεγκεν».

**συνεκβαίνω** κ. μσν. ἐκβαίνω ὁμοῦ ἢ συγχρόνως μετά τινος, ἐξέρχομαι ὁμοῦ, μαζί: Ξεν. 'Αν.4,3,22 **συνεκβαίνειν ἐπὶ τὸ ὄρος**, Στράβ.15,2,13 **αὐτῷ καὶ τοῖς συνεκβᾶσιν ὁ αὐτὸς ὑπάρξαι φθόρος**, Νικήτ.Εὐγ.4,62.

**συνεκβάλλω** κ. μσν. κ. νεώτ. ἐκβάλλω, ἀποβάλλω, ἐκρίπτω τι ὁμοῦ ἢ συγχρόνως: 'Ηρ. 3,108 **τίκτουσα .. συνεκβάλλει τῷ τέκνῳ τὰς μήτρας**, 'Αριστλ.'Ακουστ.804b,9 **συνεκβάλλειν τὸ πνεῦμα μετὰ τῶν φθόγγων**, Πορφ.'Αρμον.253C.

